
3 1761 07457198 5


UNIVERSITY OF TORONTO
VELUT ARBOR ÆVO

JOANNIS MILTONI

FABULÆ

SAMSON AGONISTES

ET

COMUS,

GRÆCE.

INTERPRETATUS EST

EDVARDUS GRESWELL, S.T.B.

COLL. C. C. APUD OXON. SOCIUS.

OXONII,

EXCUDEBAT S. COLLINGWOOD, ACADEMIÆ TYPOGRAPHUS.

VENEUNT APUD J. H. PARKER;

WHITTAKER, TREACHER, ET ARNOTT; J. G. ET F. RIVINGTON,

LONDINI; J. ET J. J. DEIGHTON, CANTABRIGIÆ.

MDCCCXXXII.



NOBILISSIMO ET ILLUSTRISSIMO

GULIELMO WYNDHAM, BARONI DE GRENVILLE,

UNIVERSITATIS OXONIENSIS

CANCELLARIO ET PATRONO,

SAMSONEM ET COMUM MILTONIANOS

GRÆCE PERSONATOS,

QUOS GRÆCE LOQUENTES NEMO QUAM IPSE MELIUS

PERSPEXERIT,

CUM EA QUA PAR SIT OBSERVANTIA,

COMMENDAT, DICAT, DEDICAT,

EX ACADEMICIS SUIS

INTERPRES.

MONITUM.

CUM primum me ad hujus opusculi tractationem accingerem, nihil aliud in animo habebam nisi ut intervalla quædam temporis, quæ a magis seriis negotiis vacabant, non sine fructu elabi paterer. Nugas autem meas, neque enim graviori nomine appellandæ sunt, idcirco publici juris feci, quia, tametsi Græcarum litterarum amor atque studium nunc cum maxime apud Academiam nostram floret, novus tamen illis impetus mihi accessurus videbatur, si summi nostrorum poetæ singulares duæ fabulæ, (altera ad normam antiquæ tragœdiæ quam proxime conscripta, altera leporibus poeticis abundantissima,) quæ populari sermone omnibus familiariter in ore versarentur, etiam Græce nobiscum loquentes inducerentur.

Prodiit quidem ante annos quattuor et quadraginta versio Samsonis Agonistæ, Græco carmine a Georgio Henrico Glasse, Ædis Christi alumno, elaborata; qui in eodem curriculo, Masoni nostratis Caractaco consimili ratione Græce reddito, jam antea sudaverat.

Cujus versionis si prius mihi copia facta esset, quam meam qualemcunque interpretationem ad umbilicum

perduxissem ; nescio an parte operis mei, eaque longe maxima, carere potuissem. Neque enim ut aut actum præpostere agerem, aut quod alteri satis feliciter verterat, id ipse inani æmulationis studio denuo aggrederer, sed animi mei et oblectationis causa, a musarum discipulo et viro Academico non alienæ, ad inceptum meum adductus sum.

Quanquam ut pace viri doctissimi sententiam meam libere profitear, etiam post comparatam ipsius versionem non me pœnitebat laboris mei. Glassius enim Miltoni fabulam non tam vertisse quam refinxisse, et quasi in ordinem coegisse mihi videbatur. Adeo multa apud ipsum desiderabam, quæ penes auctorem suum reperiebantur: contra autem non pauciora interpretationem expressisse sentiebam, quæ frustra apud exemplar requiras.

De me autem, meminerint velim lectores, me interpretis quidem Miltoni partes pro virili meo sustinendas suscepisse; non autem censoris vel correctoris, nedum imitatoris vel æmuli. Quicquid igitur in utralibet ipsius fabularum Miltonus Anglice scripsisset; id mihi Græce vertere optimo jure licere arbitrabar. Si quid alterutra vel contra verisimilitudinem peccaret, vel ad criticas rationes non satis exacta videretur, ejus mihi neque excusationem neque defensionem, pro operis mei instituto, suscipiendam existimavi.

De Græcitate vero dictionis, cujus in interprete propria ratio habenda est; sciat lector me veteris Atti-

cismi studiosum fuisse: nullum autem vocabulum in versionem meam prudentem admisisse, quod non bene Græcum esset, atque a probis scriptoribus usurpatum. Semel atque iterum, rei necessitate cogente, ad nova quædam confingenda adactus sum: ejusmodi tamen ut elementis saltem Græcis constarent; et pro Græca verborum compositionis ratione satis apte cohærerent. De ceteris quid in hoc genere præstiterim, alii viderint; quantum ex interpretationis lege ad operis summam laboris incrementum factum sit, equidem novi.

Nolim tamen spondere, singula quæque dictionis nostræ verba apud poetas Atticos reperiri posse; quod quidem ab interprete hodierno in vernaculis suæ gentis poetis Græce traducendis, exspectare, nimis sane iniquum, nimis etiam fastidiosum esset. Cedo, enim, qui sint tandem poetæ illi Attici? quota vero pars scriptorum veteris tragœdiæ hodie superest? quæ si integra ad nos devoluta essent, nemo dubitare potest quin ingens accessio ad instrumentum poeticum ex desideratis scriptoribus facta esset: cum etiam superstitum fragmenta complura suppeditent, quæ apud integra ipsorum monumenta non occurrunt. Neque vero orationis solutæ scriptores, qui poetis Atticis ætate suppares erant, τῆς Ἀττικῆς εὐεπείας aut canones minus recti, aut testes et auctores minus locupletes, quam suæ gentis poetæ, existimandi sunt; e quibus ipsis, Euripideæ quidem dictionis ea potissimum virtus ab Aristotele recensetur; quod tota ex communis dialecti vocabulis

conflata sit; non ingenii ad nova quælibet et inaudita confingenda audacia et grandiloquentia, sed judicii ad optima quæque ex usitatis excerpenda acumine et elegantia.

De choricis autem nostris, quoniam rei metricæ ratio in ejusmodi systematis perquam lubrica et salebrosa hodie conscribenti sit; satius duxi lyrica mea, duntaxat in Samsone, ad normam cujusdam e tragicis conformare, quam proprii aliquid in hoc genere attentare. Quem ad finem Sophoclem tum Æschylo tum Euripidi præponendum arbitratus, vestigiis ejus, ex editione Gaisfordiana, anni MDCCCXXVI. in universum insecutus sum; non ita tamen ut quoties commodius fieri posse videretur, in libertatem me ab exemplari paululum deflectendi non assererem.

Hebræa quædam nomina, in quorum duritie Græcæ quidem aures offendere potuissent, tanquam appellativa reddenda censui; verbi gratia, τὸ Succoth, Hebraicum, tanquam Σκηναὶ Græcorum, Lehi illorum, idem atque Σιαγὼν horum, (cujus media secundum Spitznerum producitur,) sonare existimavi. Quo in genere etiam Dagon Philistiæorum per Tritonem Græcorum, tanquam per alterum ipsum, ubique repræsentare mihi licere duxi.

Admonitum autem velim lectorem me primam in ἁλοὺς, et δάπεδον, secundam in ἑάλωκα—quæ alibi correpta forsan ipsi occurrerint—Spitzneri auctoritatem secutum, qui proxime de prosodia Græcæ linguæ scrip-

sit, pro veterum Atticorum ut illi videtur consuetudine, produxisse.

Superest ut sphalmatis nostris, si quid imprudens admiserim, lectoris benevolentiam et indulgentiam conciliem; qualem eo lubentius mihi concessurum spero, quo ad magnitudinem operis mei animum adverterit: ad quattuor enim pæne mille versuum excrevit. Mirum igitur ni diligentius scrutanti complura occurrant, in quibus interpretis vigilantiam desideret.

ΣΑΜΨΩΝ ΑΓΩΝΙΣΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΑΜΨΩΝ.

ΧΟΡΟΣ, *ἐκ Φυλετῶν Σαμψῶνος.*

ΜΑΝΩΑΣ.

ΔΑΛΙΔΑ.

ΑΡΑΦΑΣ.

ΚΗΡΥΞ.

ΑΓΓΕΛΟΣ.

ΟΔΗΓΟΣ ΣΑΜΨΩΝΟΣ, *κωφὸν Πρόσωπον.*

Προλογίζει δὲ ὁ Σαμψών.

ΣΑΜΨΩΝ ΑΓΩΝΙΣΤΗΣ.

ΣΑΜΨΩΝ. ΟΔΗΓΟΣ.

ΣΑ. ΤΥΤΘΟΝ *τι τῶν σῶν, κἄτι δὴ τυτθὸν χερῶν*
τύχοιμ', ὁδηγεῖν τὸν τυφλὸν πρόσω πόδα,
ὅπου παρ' ὄχθοις ἡλίου σκιᾶς τ' ἴση
πάρεστι χρῆσις· ἔνθα καὶ προτοῦ φίλον
θάκοις ὀκλάζειν, εἴ τί πως ἀπαλλαγῆς
γένοιτο δούλων τῶν καθημέραν πόνων,
ὧν μοι 'πὶ κοινῷ δεσμίων οἰκήματι
ἀντλεῖν ἀνάγκη· τῇδε καὶ καθειργμένος
πέδαισιν αὐτὸς, τῶν ξυνειργμένων μόγις
ἀτμῶν τιν', οὐ γὰρ πνευμάτων, ἐφέλκομαι
τὴν ψυχρότητα, τοὔμπαλιν σωτηρίας.
πάντων δὲ τούτων ὧδ' ἀναψυχθεὶς ἔχω·
οὗ καὶ γλυκειῶν τῶν ἀπ' οὐρανοῦ πνοῶν
ξύνοιδα γευσθεὶς, τῶν ἅμ' ὀρθριναῖς ἀεὶ,
κἀκηράτοισι ξυσκεδασθεισῶν βολαῖς.
ἐνταῦθα παυσθεὶς, ἡδ' ἀναπνεύσας τύχω.
πανήγυρις γὰρ σήμερον θαλασσίου
Τρίτωνος αὐτῶν τῇ πόλει δεδογμένη,
ἔργων ἅπαντα καὶ πόνων λύσασ' ἔχει·
τοσόνδε κἀγὼ δεισιδαιμόνων παρὰ
ἐχθρῶν ἐφεῦρον, καίπερ ἀκόντων γ' ὅμως,
ὥστ' ἐκτὸς ἤδη τοῦ καθεστῶτος θρόου,

ἀνεμπόδιστος τῶνδε τῆς ἐρημίας
τόπων γλίχεσθαι, κἀνάπαυλαν ἐνθάδε
ζητεῖν βραχεῖαν, εἰ τύχοι, τῷ σώματι·
οὐ γάρ τι θυμῷ, τῶν ἀκοιμήτων ὕπὸ
δοξῶν ἔσωθεν· ὧν μὲν, ὡς μονούμενος
τάχισθ' ὑπάρχω, σφηκίνοις ὀλέθριος
κέντροισιν εὐθὺς ἑσμὸς ἐξωπλισμένος,
ἐπεισέπαισε, καὶ παρέστησεν φρενὶ
οἷος γεγώς ποθ', οἷος αὖ τανῦν κυρῶ.
τί γὰρ, τί δισσῶν τοῖς ἄνω λατρευμάτων,
δισσῶν τε τῷ Θεῷ τἀγγέλου χρησμῳδιῶν,
κατηξιώθη τἀμὰ δὴ γεννήματα;
ὃς καὶ γονεῦσι τοῖς ἐμοῖς ἐναντίον,
μέσων ἐναργῶς ἐμπύρων ἐσδὺς σέλας,
βωμῶν ἀπ' ἄκρων οὐρανόνδ' ἱππεύσατο,
στύλοις τὸ θεῖον τῆς παρουσίας πυρὸς,
ὡς δή τι ῥέξας θαυμάτων, ὀχούμενος,
ἢ καὶ μέγ' ἀγαθὸν τῷ λεῷ 'πηγγελμένος.
τί δ' αὖ 'πὶ ῥητοῖς τῶν τροφῶν ἐλάγχανον,
ὥς τις πρὸς ἔργων μητρόθεν γ' ὡρισμένος
σεμνῶν τε θείαις χερσὶν, ἠδ' ὑπερβίων,
ὑπηρετήμαθ'; ὅστις αἰχμάλωτος ὢν,
προδοθείς τ' ὄλωλα, κωμμάτων τητώμενος,
γέλως μὲν ἐχθροῖς καὶ θέαμα κείμενος,
ἰσχὺν δὲ ταύτην, τὴν θεόσδοτον, λάχος
μυλῶν πρὸς αἰσχρὰν τήνδε θητείαν λαβὼν,
χαλκῶν ἀνάγκαις ἐν πεδῶν ἐζευγμένος.
ὦ τοῦ τρόποισι μηδὲ δουλικοῖς τανῦν,
ὄνων δὲ, κεἴ τι τῶν ὄνων κατωτέρω,
βίας καταισχυνθέντος εὐδόξου γέρως·
ὅδ' οὖν ὁ σωτὴρ, θεσφάτων ὁ μὲν χάριν

τῶν ἀλλοφύλων τῷ λεῷ λύτωρ ζυγῶν·
τοῦτον τί πράσσει, τὸν μέγαν, πεπυσμένῳ,
Γάζῃ, μυλώνων ἐντὸς ὧδέ σοι πάρα,
δούλων ἑταῖρος, ὃν βλέπεις ἀνόμματον,
τούτοις ὑποδμὼς, ὧν ἔφυ σωτὴρ ζυγῶν.
καίτοι τὸ θεῖον μή ποτ᾽ αἰτίᾳ βαλὼν
ἔχω ματαίᾳ· καὶ γὰρ, εἰ τοὐμὸν μέρος
οὐκ ἦν προκάμνον, πάντα ταῦτ᾽ ἂν ἐξέβη
τέλους ἐς ὀρθόν· ὥστε τῶν κεχρημένων
ψεῦδος μὲν οὐδὲν, τῶν πεπραγμένων δ᾽ ἐγὼ
δίκαιός εἰμι τοὐπίκλημ᾽ ἔχειν μόνος.
ὃς καὶ τὸ δῶρον τῆς βίας τόδ᾽ ἔξοχον,
ὅτῳ ποτ᾽ εἶχε τῶν μελῶν ἱδρυμένον,
βραχεῖ ξὺν ὄγκῳ πάντ᾽ ἀναρπάσαι πάλιν·
παρεγγυηθὲν, ἐς τέλος κλῄσας ἔχειν
σφραγῖδι πιστῶν ἠσθένουν ἀῤῥησιῶν·
τὸ πᾶν γυναιξὶ, θῆλυς αὐτὸς ὢν, προδοὺς,
ἥσσων κεκραγμοῦ, τῆς τ᾽ ἀναιδείας γεγώς.
ὦ τῆς ξυνοίκου σώματος μετ᾽ ἰσχύος
τοῦ νοῦ ᾽σθενείας· εἰ δὲ μὴ χορηγίας
τῶν σωφρονουσῶν εὐτυχεῖ διπλᾶς φρενῶν,
μάτην ἄρ᾽ ἰσχὺς ὄγκον ἐξαρτύεται
ἄρθρων περισσὸν, καὶ γιγάντειον τύπον·
ἄχθος μὲν ἄλλως, δυσχερῶς κινούμενον,
θράσους τ᾽ ἀνοίᾳ καὶ φρονήματος πλέως,
ὡς ἀσφαλείας· εὐτελεστάτων ῥοπαῖς
αὐτὴ σφαλεῖσ᾽ ἂν ῥᾳδίως σοφισμάτων·
ἄρχειν τε μὴ φῦσ᾽, ἔνθα που δ᾽ ὑπηρετεῖν,
τῶν νουνεχουσῶν οὗ τις ἡγῆται φρενῶν.
δηλοῖ τὸ δῶρον φλαῦρον ὂν τῆς ἰσχύος,
τῷ δοντὶ κρατὸς ἐκ τριχῶν ἀνημμένον.

ἀλλ' οὐ γὰρ εἰκῆ τῆς ὑπερτάτης πρέπει
γνώμαισι βουλῆς ἐγκαλεῖν· ἢ καί τινος
τῶν οὐ καθ' ἡμᾶς τοῖσδ' ἴσως ἐφίετο.
ἀρκεῖ τόδ'· ἰσχὺν πῆμά μοι καθεστάναι,
πηγήν θ' ἁπασῶν τὸ σθένος τῶν ξυμφορῶν.
ὧν δὴ τὸ πλῆθος καὶ τὸ δεινὸν ἐν μέρει,
αἰῶνος ἦν ἂν τἀποκλαύσασθαι πόνος.
τῷ σῷ πρὸ πάντων δ' ἄξιον στένειν πόθῳ,
ὦ τῶν ἀδέρκτων ὀμμάτων τὸ πρὶν φάος·
τυφλὸν παρ' ἐχθροῖς· ὦ τάλας ἐγὼ τύχης,
μιᾶς ἁπάντων ἀντὶ δεσμωτηρίων,
πάντων τε πενίας, γήραός τε λυμάτων.
ἐμοὶ τὸ θείων φέγγος ἔσβεσται μακρῷ
κάλλιστον ἔργων· ὧν τε φέγγος ὄμμασιν
τερπνῶν χορηγεῖ, κἀφθόνων τὴν ἡδονὴν,
ὅθεν τ' ἂν ἀλγῶν ἦν τί μοι θελκτήριον·
πάντ' ἐκλέλοιπε, κοὐδέν ἐστ' ἔμοιγ' ἔτι.
θνητῶν δὲ πάντων, τῶν ἀναξιωτάτων,
οὐχ ὅτι μὲν ἀνδρῶν, ἑρπετῶν δὲ πρὸς τανῦν,
οὐκ ἔσθ' ὅτῳ μὴ κρεῖσσον ἢ κἀμοὶ κυρεῖ.
ἕρπει τάδ'· ἀλλ' οὖν ἐν φάει· σκότος δ' ἐγὼ
πρὸς φῶς κατέστην· ἐς γέλωτ' ὁσημέραι,
καὶ κερτόμησιν, καὶ βίαν προκείμενος,
ὕβριν τ' ἀπ' ἐχθρῶν· μωρὸς ὣς ὅπου ποτὲ
κἄσωθε καὶ θύραζε, κἀκ παντὸς τρόπου,
ἀεὶ μὲν ἄλλων, οὐδαμοῦ δ' ἐμὸς κυρῶν·
σχεδόν τι τοῦ ζῆν οὐδὲ θἠμίσεως κρατῶν,
ἤδη δὲ πλεῖον θἠμίσεως θανὼν ἔχων.
ὦ σκότος ἀμὸς, καὶ νὺξ
μεσημβρινοῖσι περιχυθεῖσ' αὐγάσμασιν·
ὦ νὺξ, καὶ φάος ἔμπαλιν

δυσανακόμιστον, παντέλους ἐκλείμματος,
τῆς τ' οὔποτ' αὖθις ἡμέρας ἔτ' ἐλπίδος.
ὦ πρωτόπλαστον φέγγος, ὦ σεμνὸν τόδε,
τό· φῶς γενέσθω· πρῶτον ἐκρίψαν στόμα,
καὶ φῶς ἅπασιν εὐθὺς ἀμφεδύσατο·
τί τῶν ἀπ' ἀρχῆς πᾶσί σοί γ' ὡρισμένων,
ἐμοὶ μὲν ὧδε πάντ' ἀπείρηται μόνῳ;
ὦ τᾶς ἁλίου ὄρφνας
τᾶς νῦν· ὦ σέλας αἴγλας
τῶν μηνιαίων, ὡς ἐμοὶ, κοιμημάτων,
τῶν τῆς σελήνης, οὐδὲν ὂν λαλίστερον,
ὅταν τὸ λαμπρὸν νυκτὸς ὄμμ' ἀποσβέσῃ,
σκότου γ' ἐρήμων ἐν μετοικίᾳ σπεῶν.
εἰ δ' οὖν τοσοῦτο τοῦ φάους τῷ ζῆν μέτα,
σχεδόν τε τὸ ζῆν αὐτὸ δὴ τὸ φῶς κυρεῖ·
ψυχὴν μὲν ὄντως φωτὸς εἰσῳκισμένου,
ψυχῆς δ' ἁπάντων κυρίας οὔσης μελῶν·
τί δὴ ποτ' ὄψις ἐνθάδ' ἵδρυται μόνον,
γληνῶν ὀπαῖσιν ἀσθενῶν κεκλῃμένη,
ὅπου τὸ φέγγος τοῦ φθάσαντος ἦν σβέσαι;
ἦ δῆθ' ἁφῇ γ' ὧς, πανταχοῦ 'σκεδασμένῃ,
ἐξῆν ἑκάστων ὄμμασιν χρῆσθαι πόρων.
χοὔτω μὲν αὐτὸς φωτὸς οὐκ ἂν ἦ φυγὰς,
οὐδ' ὡς μέτοικος τοῦ κάτω κνέφους ἄνω·
πνέων μὲν, ἡμιθνὴς δέ· κἄμβιος θανὼν,
καὶ τυμβόχωστος· αὐτὸς, ὦ μοί μοι κακῶν,
ἐμὸν τὸν αὐτοῦ πανταχοῦ τάφον φέρων·
οὐδ' οὖν τι μᾶλλον, καίπερ ἔνταφός γ' ὅμως,
ξὺν τοῖς θανοῦσι καὶ πάλαι τεθαμμένοις,
ἄλλων ὑπάρχων τῆς ὑπερβολῆς κακῶν,
ὑβρισμάτων τε κᾠδυνῶν, ἐλεύθερος·

τόσῳ δ' ἅπασι πώποτ' ἀθλιωτάτοις
τοῦ ζῆν προβληθεὶς, ὅσσον ὧδ' ἁλοὺς ἔχω
τοῦ ζῆν ἐν ἐχθροῖς βαρβάροις τ' ἀναστροφήν.
τινῶν δὲ τούτων ξυγκρότων κλύω ποδῶν,
μιᾷ ξὺν ὁρμῇ τῇδέ πως ὁμοῤῥόθων ;
ἆρ' οὖν τις ἐχθρῶν ὀμμάτων ἐφ' ἡδονῇ,
ἢ καὶ πρὸς ὕβριν, τἄμ' ὀπιπτεύει κακὰ,
ὡς δὴ κατ' ἦμαρ μᾶλλον ἀλγυνθῶ πλέον ;

ΧΟΡΟΣ.

Οὗτος ἐκεῖνός γ'· ἥσυχος οὖν τις
πέλας ἱστάσθω, μὴ θορυβωδῶς.
οἴμοι, σχετλίων νεαρῶν τε τυχῶν·
ὑπὲρ ὀφθαλμοὺς, ἀκοῆς τε πέραν.
ταῦτ' ἄρα ῥιπτὸς σῶμα πρόκειται,
κεφαλήν τε παρεὶς ἀστήρικτόν τ',
ἀμελῆ τ', ἐπὶ γῆς ὧδε φέρεσθαι·
δυσθεράπευτος καὶ ἀνέλπιστος
πάμπαν ὑπάρχων, μηδ' ἄρ' ἑαυτῷ
πρὸς τὴν ἀγαθῶν ἔτι προσδοκίαν
οὐδ' ἀνακύψαι θάρσος παρέχων·
εἰκῆ τ' ἄρθροις, ἀντὶ χιτώνων,
τόδε δουλοπρεπῶν
πιναρὸν τρυχῶν ῥάκος ἴσχει.
Ταῦτ' ἄρ' ἀθρήσας, φήσει τις ἰδεῖν
τὸ παρ' ἡρῷσιν κλέος ὕψιστόν τ',
ἄμαχόν τε κάρα τόδε Σαμψῶνος ;
τοῦ δὴ τὸ πάλαι γυμνοῦ μὲν ὅπλων
ἐπορούσαντος, μήτε τις ἀνδρῶν,
μήτ' οὖν χαροπῶν ἄγριόν τι μένος
θηρῶν ἄφοβόν γ' ἀντίον ἔστηχ'·
ᾧ ῥα λεόντων ῥαχιζομένων

οὐδέν τι πλέον σθένος ἀντίσχειν,
ἢ τῶν αὐτοῖς ἐρίφων θήρας·
ᾧ παραταξέων χαλκοχιτώνων,
ἀνόπλῳ τε μόνῳ τ' εἰσαλλομένῳ,
παραχρῆμα γέλως θὤπλα κατέστη·
σφύρας τ' ἀνόνητ' ἄκμονός τ' ἔργων
πάντ' ἐγενήθη· μήτις ἂν ἐγχῶν
ἦν ἔτι χρῆσις· μήτις ἂν ἀσπίδος,
ἢ θωράκων, Χαλύβων τε τέχνης,
ὅπτου τε πυρὸς πρῶτα λαχόντων·
πάντων δ' ἂν ὅπλων, τῶν μή τι χαλᾷν
πλέον ἀντιτύποις
στιβαρῶν πληγαῖς ἀδάμαντος.
Ἠ μὴν ἄ'ποπρὸ πλεῖστον ἀποστὰς,
ὁ μάλιστ' ἐχθρῶν ἦν τότε σωθεὶς,
ὅτ' ἀμαιμακέτου ῥεῦμα προβήσας
ποδὸς ἐς μεσάτας ὦρτο φάλαγγας,
κατ' ἀριπρεπέων γελάσας κόσμων,
πάντων τε μάχης γελάσας δεινῶν·
ἀκροθίνι' ὅπλων, σωρούς τε νεκρῶν θ',
ὥστε στιβάδων, λὰξ ἐπάτησεν.
τίς δ' ἂν ὑπέστη τῶν ἀντιπάλων
κούφισμ' ἀγρίων τοῦτο λεόντων,
αἰχμὴν παλάμαις ἄντα κραδήνας ;
ᾧ γηραλέων πᾶς τις ἀριστέων,
οὐκέτι τῆς πρὶν μνήμονες ἀλκῆς,
ποδὸς ἐξ ἀμάχου στρέψαντες ἔβαν
τὰ κατωμαδίων ὀπίσω τευχέων.
ἢ καὶ κονίαις, κείμενοι ἤδη,
κόσμον κορύθων
φύρδην ἔλιπον στορέσαντες.

Αὐτὸς δ᾽ ἂν ὅπλων, ἅρπαγμα μάλης,
τὸ τυχὸν παλάμαις περιφραξάμενος,
ξίφος ὀστέϊνον, σκῦλον ὄνειον·
χιλιὸν ἐχθρῶν ἄνθος ἀπέθρισε,
τῶν ἀκροβύστων τῆς νεολαίας·
ἡλίῳ ἄμφ᾽ ἑνὶ τῇδε πεσόντων,
ἔνθα Σιαγὼν Ἀρίμοις κλεινῶν
ἔτι γοῦν ἔργων τοὔνομα σώζει.
καὶ μὴν τόδε γ᾽ οἷ θαῦμα τέτυκται·
Γάζης πύργων ὡς ἐντὸς ἔχων,
στύλους τε μοχλῶν, σάνιδάς τε πυλῶν,
κρατερὰς κρατερῶς ἐκριζώσας,
στιβαροῖς οὔτοι φλαῦρον ἐπ᾽ ὤμοις
βάσταγμα φέρων, καὶ νυκτὶ μιᾷ γ᾽
οὐ σαββατικὴν ἀνύσας τιν᾽ ὁδὸν,
παρὰ Χεβρῶνος κάτθετο βουνοῖς·
ἔνθα γιγάντων ἕδος ἀρχαίων.
τοῖος ἂν εἴη δ᾽, οὗπερ ἀπίστοις
ἔθνεσι μύθοις
οὐρανὸς ὤμοιν ἐποχεῖται.
Τοῦ σ᾽ ὀλοφυρόμενος πλέον οἰκτίσω· στ. α΄.
εἴ τ᾽ ἄρ᾽ ἐλευθερίας,
ἢ φάους συλώμενον;
τῷ δεσμὰ δεσμῶν, καὶ σκότος ἔλλαχεν ἄλλος
σκότου κακίων· αὐτὸς αὐτῷ φρουρίων
ἀντὶ γεγὼς φυλακᾶν,
τηρεῖν ἐσαιεί· καὶ τὸ μάταν τοῦ ὁρᾷν
ἔγκλαμα πολλοῖς, δέσμιος οὖσα μυχοῖς
ψυχὰ μὲν ἁ σὰ σωματικῶν σκοτιᾶν,
φέγγους ἀλαθῶς πάντ᾽ ἀπόκλῃστος, ἔχει
νυκτὸς οὐσίας μέρος ἤδη.

Οὐδὲ γὰρ αὐτομάτας φρενὶ λαμπάδος ἀντ. α΄.
εἴ τι φαεινὸν ἔσω,
τοῦτο φῶς τοῦ 'ξω κνέφους.
ὢ τῶν βροτείων, ὡς ἀβέβαια πέφυκεν,
τὰ πραγμάτων, ἐξ οὗ τόδ' ἀρχὰν ἔλλαβεν
φῦλον ἐφαμερίων,
οἷος κάτοπτρον καὶ παράδειγμα γεγὼς
αὐτὸς μέγιστος· τόν ῥα τύχα μὲν ἄκρων
ζάλου τε δόξας θ' ὧδ' ἐπιβάντα, βίας
θνατοῖς ἀπείρου, τοὔμπαλιν ὦσε κάτω,
πᾶσιν ἀθλιώτατα πράξειν.
Οὐ γὰρ ἐμοὶ κέκριται τὸν ἐκ γενους ὕψους ἐπῳδ.
ἀρχαῖον στεφάνωμ' ἔχοντα πρόκριτον,
μηδ' ὅν γ' ᾖρε κύκλος τύχας·
τούτους ἐπ' ἄκρων καταστᾶσαι.
ἀλλ' ὃν τὸ βίας, ἀρετᾶς μὲν ὁμοῦ,
πάντων τιμαῖς ξυνεπαινούντων,
μόνον ἂν γᾶς τύραννον ἐποίασεν.

ΣΑΜΨΩΝ.

Φωνῆς κλύω μὲν, ὡς λόγων· αὔραις δ' ὁ νοῦς
τηχθεὶς, πρὶν ὠσὶν ἐμβαλεῖν, ἀποῤῥυεῖ.

ΧΟΡΟΣ.

Προσεγγίσωμεν· καὶ γὰρ αὐδήσας ἔχει.
ὦ φέρτατ' ἀλκὴν, οὗ τὸ παγκρατὲς σθένος
αὔχημα πρίν ποτ', ἀρτίως δέ τῷ λεῷ
πένθος μέγιστον· οὐκ ἀνοικείων πάλαι
φίλων τάδ' ἤδη, γειτόνων τέ σοι πάρα,
Ζώρας γε βήσσαις πίονος τεθραμμένων·
βλέψοντες, ἢ κλαύσοντες, εἰ δ' ἐφ' ἕλκεσιν
φέρειν τι τοῖς σοῖς ἤπιον γενήσεται,

παρόντες ὧδε τῆς τε συμβουλῆς χάριν,
παρηγόρων τε φίλιον ἐμπλήσειν μέρος.
λόγων γὰρ ἔστι τῶν καλῶς εἰρημένων
τῶν οἰδανουσῶν κύματ᾽ εὐνάσαι φρενῶν,
καὶ τοῖς ὑπούλοις φάρμακ᾽ ἐνδοῦναι κακοῖς.

ΣΑ. Ἐμοὶ μὲν ὑμῶν, ἄνδρες, ἐκ παρουσίας
νέον τι θάρσους ζωπύρημ᾽ ἐγγίγνεται.
φήμῃ δὲ μηκέτ᾽, ἀλλὰ τῇ πείρᾳ μαθὼν,
ἔγνων πονηροῦ κέρματος κεκομμένον,
τὸ τῶν χαράγμαθ᾽ ὡς φίλων γεγραμμένων
φῦλον τὸ πλεῖστον· ὧν μὲν ἐν καλοῖς περὶ
ἐσμόν τιν᾽ ἕξεις πράγμασιν κυκλούμενον·
κακοῖς δὲ, τῶν πρὶν φροῦδα πάντ᾽ ἤδη φίλων,
κοὐκ ἔσθ᾽ ὅτου ποτ᾽, οὐδὲ προσχρῄζων, τύχοις.
ὁρᾶτέ μ᾽ οἵοις ἐν κακοῖς κεῖμαι, φίλοι·
ὧν δῆθ᾽ ἑνὸς γοῦν, μηδενὸς πρὶν ὑστέρου,
νῦν μοι παρ᾽ οὐδὲν φαίνεται τἄλγος φέρειν.
εἰ γὰρ τόδ᾽ ὄψεως, ὥσπερ εἰσαεί γ᾽ ἔδυ,
τὸ φῶς ἀνέλθοι· πῶς ὑπ᾽ αἰσχύνης ἔτι
ἅπαξ ἂν ὀρθοῖς ὄμμασίν γ᾽ ἦν μοι βλέπειν ;
ὅστις τὸ πλοῖον, εὐκλεῶς ἐσταλμένον,
λαβὼν ἄνωθεν χερσὶν ἐπιτετραμμένον,
σκαιῶν ἔθραυσά του κυβερνητῶν δίκην·
δώρων τε τῶν Θεοῦ τοῖς γυναικείοις δόλοις,
ἔπους τε φλαύρου καὶ δακρυμάτων χάριν,
τὰ πάντα προὔδωχ᾽, ὡς ἄφρων, μυστήρια.
ἆρ᾽ οὖν ἐν ὕμνοις καὶ παροιμίαις, φίλοι,
τὰ πρῶτ᾽ ἀνοίας μωρίας τ᾽ ἤδη φέρω ;
ἆρ᾽ οὐχὶ πᾶς τις τῶν ὁδῶν ἁπανταχοῦ,
ὡς εὖ πέπραγε, χὠς κατ᾽ ἀξίαν, βοᾷ ;
καίτοι βίας μὲν ἦν ἔμοιγ᾽ ὑπέρμετρον,

τοῦ νοῦ δὲ μηδὲν τῶν μέσων πλέον λάχος.
ὧν θάτερον μὲν θατέρῳ 'ν ἀντίστροφον
ἔσωσεν ἡμᾶς· ζυγομαχοῦν δ' ἀπώλεσεν.
ΧΟ. Μεμπτὸν μὲν οὐδὲν τῶν Θεῷ γ' ἐγνωσμένων.
τέχναις γυναικῶν δ' οὐδὲ τοῖς σοφωτάτοις
ὄνησις ἧξε τῶν σοφῶν οὔτις φρενῶν,
τὸ μὴ πεπλάγχθαι, καὶ πεπλάγξεσθαι, κακῶν.
δι' ἃς σύ γ' αὐτῷ μηδὲν ἐγκαλεῖν ἄγαν.
καίτοι γε πολλοῖς θαύματος τόδ' ἄξιον,
πῶς δή ποτ', ἐξὸν εὐγενῶν τε καὶ καλῶν
φυλῆς θ' ἑλέσθαι καὶ λεῷ νυμφευμάτων,
ξένων προῄρου, καὶ Παλαιστίνων γάμους.
ΣΑ. Λέκτρων τὰ πρῶτα Θαμναθοῖς ἐφευρόμην
αὐτός· γονεῦσι δ' οὐδαμῶς ἂν ἀσμένοις
γυναῖκ' ἀπίστων ἦν με μνηστεῦσαί τινα.
οὐ γάρ τι θείων προτροπῶν ξυνίεσαν,
ὑφ' ὧν ἔσωθεν αὐτὸς ἐκκινούμενος
ἔγνων, ἀφορμῆς τῶν γάμων δεδραγμένος,
ἔργων ἔχεσθαι, τῶνπερ οὕνεκ' ἦν γεγὼς,
ἀρχηγὸς εἶναι τῷ λεῷ σωτηρίας.
ψευσθεντὶ τούτων, πῆμά μοι τὸ δεύτερον·
ὡς μήποτ' ὤφελ'· ὀψὲ γοῦν μάτην φρονῶ·
Σωρῆχος ἀγκέων Δαλιδᾶς προσγίγνεται
τεράτων ὕπουλος, καὶ πανουργιῶν χάρις.
ὧν δὴ στοχήσας ταὐτὸ πρὸς τέλος γάμων,
τεκμηρίοις γε τοῖς πρὶν οὐχ ἡμάρτανον·
πεῖράν τιν' ἐχθρῶν δεσποτῶν τ' ἀεὶ κατὰ
τῶν Ἰσραῆλος, ἁρπάσαι θηρώμενος.
τῆς νῦν δ' ἐμαυτῷ ξυμφορῶν καταστάσεως
αὐτὸς, γυναικῶν δ' οὔτις αἰτία κυρεῖ.
ὅσπερ κατ' ἄκρας τοῖς λόγοις πορθούμενος,

ταἰσχυρὰ σιγῆς τῷ ψόφῳ προδοὺς ἔχω.
ΧΟ. Ὡς μὲν κατ' ἐχθρῶν οὐδέπω τὸ σὸν κἄμοι,
πατρίδι γ' ἐρευνῶν καιρὸν ἐκδικήσεως,
ξύνοιδα καὐτός· δουλικῶν δ' ὅμως μένει
τῶν τ' Ἰσραῆλος καὶ τέκνων τὰ πρὶν ζυγῶν.
ΣΑ. Ἤδη μὲν αὐτὸς τῶνδε τῶν ἐγκλημάτων
ἀθῶός εἰμι· τῶν λεὼ δὲ προστατῶν
τοὔφλημ' ὑπάρχει, τῶν τε φυλάρχων τόδε.
οἳ καὶ τυράννων κυρίων τέ σφων κατὰ
τὰ Θεῷ πεπραγμέν' ἐκ μιῶν ἐμῶν χερῶν,
οὔθ' ἱστοροῦντες, οὔτε προσποιούμενοι
ὧν σφιν τὸ θεῖον προὐφάνη 'ννοούμενον,
λύτρων μὲν ἦσαν πλειόνων ἀνάξιοι.
οὐδ' οὖν τί γ' αὐτὸς οὔτε καλλωπισμάτων
πρὸς τἄργ' ἔχρῃζον, οὔτε δὴ κηρυγμάτων·
ἃ καὶ σιωπῶντ', αὐτὰ τόν γ' εἰργασμένον
τορῶς ἀνήγγελλ'· ὦτα δ' ἐμβεβυσμένοι,
ὡς πρός τι φλαῦρον, μὴ κλύειν ἐκαρτέρουν,
σπουδῆς γε τῆς σφεων μηδὲν ἠξιωμένον.
πρὶν δὴ τὰ τῶν γῆς δεσποτῶν στρατεύματα
χώραν ἐς αὐτῶν ξυστραφέντ' ἐσήλασαν,
ἐμὴν κατὰ ζήτησιν· ὃς πετρῶν τότε
τῶν Αἰθανείων προσφυγαῖς ἐχρησάμην·
οὐ δειλιάσας, χωρίων δ' εἰλεγμένος
ὅθεν τί γ' ἦν μοι προσμαχουμένῳ πλέον.
ἐν τοῖς δὲ φυλῆς τῆς Ἰουδαίας, ὅσοις
ἦν ἄν τὸ τῆς γῆς δεινὸν ἐκπορθουμένης,
ἅπαντες εἶχον τοὐμὸν ἐν κύκλῳ δέμας·
ἕως οὗ 'πὶ ῥητοῖς αὐτὸς ἐγχειρίζομαι,
ἑκών· ἐκεῖνοι δ' ἁρπαγὴν χερσὶν πάλιν
τῶν ἀκροβύστων τὴν ἄγραν μεθίεσαν·

δισσοῖς τὸ σῶμα σχοινίοις δεσμούμενον.
ὧν μοι τὰ δεσμὰ τοῦ λίνου καθίστατο
μίτος τις ἤδη, τῆς φλογὸς γεγευμένος.
ξύμπαντι δ' αὐτῶν τῷ στρατῷ γ' ἐπενθορὼν,
ὅπλων τι φλαῦρον τῇ τύχῃ δοθὲν λαβὼν,
ἄνθος μὲν αὐτοῖς τῶν νέων κατέκτανον,
λοιπῶν τε τοὺς μὴ ξὺν φυγῇ σεσωσμένους.
εἰ δ' οὖν 'Ιούδας, εἴ θ' ὁλοκλήρων ἐμοὶ
φυλῶν μί' ἄλλων, ξύμμαχος τότ' ἐστάθη·
πύργων ἂν ἐντὸς Γιττίνων ἱδρυμένοι,
ὧν νῦν λατρεύουσ', ἀντεδέσποζον πάλαι.
φιλεῖ δ' ἄρ' ἐθνῶν, ἅσσ' ἂν ᾖ γ' ἐφθαρμένα,
αὐτοί θ' ἑαυτῶν τῆς κάκης ὑπήκοοι,
στέργειν τὰ δούλων, μᾶλλον ἢ τἀλευθέρων,
τρυφήν τ' ἀπράγμον', ἀντὶ τοῦ δραστηρίου.
κεἴ πού τιν' αὐτοῖς προστάτην σωτηρίας
τὸ θεῖον ἤδη πρευμενῶς χαρίζεται·
φθόνῳ μὲν εὐθὺς τοῦτον, ἢ χὐποψίᾳ,
δόντες παρ' αὐτοῖς, ἢ 'ρα κὠλιγωρίᾳ,
εἴ του κατήρξατ', οὐχ ὅπως ἡγουμένῳ
θέλουσ' ἕπεσθαί γ', ἀλλὰ κἂν εὐεργετῶν
τύχῃ μέγιστα, τῇ 'χαριστίᾳ τίνειν.
ΧΟ. Ἦ μὴν λόγοισι τοῖσδ' ἀναμνησθεὶς ἔχω,
ὡς τόν θ' ἑῴων ἐγκρατῆ στρατευμάτων,
φόνου τ' ἀνάκτων τοῦ πρόσω σπεύδοντ' ἀεὶ,
Σκηναῖσί θ' ἅνδρες, τείχεσίν τε τοῖς πέλας,
σωτῆρ' ἑαυτῶν τὸν μέγαν δεδεγμένοι,
ἦγον παρ' οὐδὲν τὴν ἀνίκητον βίαν.
ὡς δ' αὖ τὸν ἐχθροῖς, τοῖς ἀπ' 'Αμμῶνος, λόγοις
τοῦ λεώ γ' ὑπερστάντ' ἐς δίκην ἐναντίον,
οὐχ ἧσσον ἐγχῶν, κἀσπίδων νικηφόρων,

οὐκ εὐπρεπῆ μὲν τῆς Ἐφραΐμου χάριν
φυλῆς Ἰέφθαν πᾶς τις ἀντημείβετο·
πρὶν δὴ τὸν ὄγκον καὶ φρόνημα καρτερῶν
πληγαῖς ἀγώνων σωφρονισθῆναί ποτε·
οὗ καὶ τὸ θνήσκειν μυρίων κατέκρινεν
τῶν ἰσχνοφώνων τραυλότης λαλημάτων.

ΣΑ. Τοῖς οὖν τοιούτοις κἀμὲ προστεθέντ᾽ ἔχειν·
ὃν μὲν τάχ᾽ ἄν τις τῶν ἐμῶν ὑπερφρονοῖ,
ἀλλ᾽ οὔ τι χαίρων τὴν Θεοῦ σωτηρίαν.

ΧΟ. Ἅπαν δίκαιον τὸ θεῖον· στ. α΄.
οὐδὲ πρὸς θνατοὺς, ὅσοις μὴ τοῦτ᾽ ἔσω
᾽γνώσθη, τὸ θεῖον μηδαμοῦ νομίζειν,
οὐδενὸς ἐς τἀποφυγεῖν σπα-
νίζεται· οἷς δ᾽ αὖ μὴ τόδ᾽ ὧδ᾽ ἔδοξεν,
τοῖσδε σκότος ἐμποδὼν
ἴχνεσσι, τὸ μηδὲν ἀ-
σφαλῶς προβαίνειν.
τῶνδε γὰρ οὐκ ἄλλος ἔφυ γνώμων·
παρὰ δ᾽ αὐτῶν μανθάνει
καρδία μωρῶν.

Γένος δ᾽ ἄπιστον βροτοῖσιν, ἀντ. α΄.
οὔ τι πάντως ἐκλέλοιπεν· τῶν Θεοῦ
τοὐρθὸν λογισμῶν μὴ νοεῖν θελόντων.
δόγμασι δ᾽ ὡς ἀντιπεσόντος
οἷς ἔθετ᾽ αὐτὸς, δὴ τότ᾽ ἐν μερίμναις
χαλῶσι φρενὸς μάταν·
ὡς δ᾽ αὖ τὸ σέβας τὸ τοῦδ᾽
ἀτιμίας μὴν
οὐδεμιᾶς, οὐδ᾽ ὕβρεως αὐτοῖ-
σι κυράσει, τοῦδέ τις
φροντίδ᾽ οὐχ ἕξει.

Ἔνθα περιπεσόντες αὐτοὶ *στ. β′.*
οἷς ἔπλεξαν ἐν νόῳ·
τῶνδ᾽ ὡς ἀπόρων λυθεῖσιν
οὐδέν ἐστ᾽ ἔχειν πλέον·
νέον λαβύρινθον εὗρον,
ἔνθα τις στροφώμενος
τῶν πρόσθ᾽ ἀμηχανωτέρων κυράσει.
πῶς γὰρ τὸν οὐχ ὡρισμένον γ᾽
ὅροις περικλῄσας ἔχῃς ; ἃ μὴν αὐ-
τὸς ἔθετο, τούτων ἐπὶ ῥητοῖς μενεῖν,
τῶν δι᾽ ἡμᾶς, οὐ δι᾽ αὑτὸν,
κυρίαν ἔχειν ἀνάγκαν εἰσαεὶ,
τὰ πρῶτα γραφέντων.
Εἰ δὲ πρόκριτον ἐξανῆκε *ἀντ. β′.*
τῶν ζυγῶν τιν᾽ ἐθνικῶν,
ἀθῷον ἅπασιν εἶναι·
αὐτὸς οὐχ ἁμαρτάνει,
λύσας τὰ προτοῦ δεθέντα,
τῶν τὸ κῦρος εἷς ἔχει.
μὴ γὰρ δίκαια τῷ λεῷ ποθήσας,
ἢ καὶ πόρους σωτηρίας,
ἄλλως ἂν εἴασ᾽ ὧν ἐλέξατ᾽ αὐτὸς
καθάρια δουλεύμαθ᾽ ἡρώων ἔχειν,
τούσδε μὴ μνασθέντας ὅρκων,
ταῦτα νυμφίων μάταια ψευσμάτων,
ἄναγνά θ᾽ ἑλέσθαι ;
Σῖγ᾽ οὖν ἐχέσθω λόγος τε, *ἐπῳδ.*
λόγου θ᾽ ἅπαν μάταιον·
κεἰ λόγῳ μὲν οὐ δίκῃ γ᾽
ἄναγνα νυμφείων τάδε
κριθήσεταί γ᾽ ὁμοίως·

ὡς μὴν λέγεσθαι· τῶν δ᾽ ἔπειτα ψευσμάτων
ἀθῷος αὐτός· τὸ τῶνδ᾽ ὄνειδος
τῇ ψευσάσῃ γ᾽ ἅπαν προσήκει.
᾽Αλλὰ γὰρ ἤδη σοῦ πατρὸς αἰδὼς,
τόδε γηράλεον δεῦρο Μανώας
ποσὶν ἀσφαλέως κῶλον ἐλαύνει·
πολιὸν νιφετοῖς ἴσα λευκανθείς.
σκεπτέα τοῦτον
πῶς ἄρα βέλτισθ᾽ ὑποδέξῃ.
ΣΑ. Οἴμοι· τόδ᾽ ἀλγέων τῶν ἔσωθε τοὔνομα
νέον νέοισιν ὤρορεν κεντήμασιν.

ΜΑΝΩΑΣ.

῎Ανδρες Δανίται· καὶ γὰρ ὧδε βαρβάρων
ξυνῆκ᾽ ἀδελφοῖς ὑμὶν ἐγκύρσας τόπων·
ἐπεὶ παλαιῶν, ὡς δοκεῖ, σεβασμάτων,
φίλων μὲν ὑμῖν τῶν πρὶν εὐζήλων πόθῳ,
ἐμῶν δὲ, κεἴπερ ὧδ᾽ ἑάλωκεν, τεκῶν·
μνήμη τις, ὁρμαῖς χρωμένη νεωτέρων,
ἀνδρὸς γέροντος τὴν σχολὴν παρέφθασεν·
εἴποιτ᾽ ἂν οὑμὸς ποῦ τανῦν υἱὸς κυρεῖ.
ΧΟ. κακῶν μὲν οὕνεκ᾽, οὐδὲν ἧσσον ἢ ᾽γαθῶν,
εὔδηλος, αὐτὸς ὧδέ σοι προκείμενος.
ΜΑ. ᾿Ω τῆς μεταβολῆς, τῆσδε τῆς παρ᾽ ἐλπίδα·
ἆρ᾽ οὖν τὸ κλεινὸν ἠδ᾽ ἀνίκητον κάρα,
Σαμψῶν᾽ ἐκεῖνον τοῦτον ἱστορῶ πέλας ;
ᾧ δὴ δι᾽ ἐχθρῶν ἐμβεβηκότι πτόλεων,
ἀλκήν τιν᾽ ὥσπερ ἀγγέλων ᾐσθημένῳ,
οὐδεὶς ἐτόλμησ᾽ ἐς χέρας ξυνεστάναι.
ὃς τάξεσίν τε χὐπεροπλίαις ἑνὸς
μάχην ξυνάψας τῶν ἐναντίων ποδὸς,
εἷς ἀνθ᾽ ἁπάντων εὑρέθη στρατευμάτων.

νῦν δ' οὐδὲ δειλῶν ἀνταγωνιστής τινος
ψυχῆς ἕκατ' ἂν ἄξιος γένοιθ', ἅπαξ
ἐντὸς καταστὰς ἐγχέων ὀρέγματος.
ὦ τῆς βροτείας ἰσχύος γ' ἀεί ποτε
προδοῦσα πίστις· ἐλπίδων τ' ἀνθρωπίνων
τὸ πᾶν μάταιον κἀπατηλόν· οὐδὲ γὰρ
οὐδ' ἔσθ' ὅτου ποθ' ὧδε λιπαρῶν κυροῖς,
ὃ μὴ οὐ πρὸς ἄτην ἐς τέλος τραπήσεται.
υἱῶν μὲν αὐτὸς τὴν πρὶν ἐξήτουν τύχην,
γάμων ὄνειδος τὴν ἀτεκνίαν νέμων·
υἱόν τ' ἐκέρδην', οὗ με πάντες ὤλβισαν.
πατὴρ δὲ τίς νῦν γ' ἀντ' ἐμοῦ κεκλήσεται;
τί δὴ προσευχῶν, ὥσπερ εὐτυχημάτων,
πολλῶν τ' ἔκυρσα κἀξίων κόσμου μέτα;
τί δ' αὖ τὸ θείων ὄλβιον δωρημάτων
ζῆλον μὲν αὐτοῦ, χἴμερον ποιήσεται·
χάρισμα δ' ὥς τί γ' οὐκ ἄνευ σπουδῆς δοθὲν,
ἔπειτα κέντρον, οἷ' ὄφεως, παρέλξεται;
πρὸς ταῦτα δισσῶν ἆρα τῶν ἀπ' οὐρανοῦ
ἔδει προπομπῶν; τῶνδέ γ' οὕνεκ' αὐτὸς ἦν
τροφαῖς ἐφ' ἁγίαις, ἔρνος ὣς, τεταγμένος,
ἐξαίρετόν τε χἰερόν· χρόνον τινὰ
βροτοῖς τεθηλὸς θαῦμ' ἐπιβλέψαι γεγώς·
ὡς αὐτος οὗτος προσβολαῖς θ' ὥρας μιᾶς,
δόλοις τε χρησθεὶς, δυσμενῶν ἁλοὺς ὕπο,
ἡσσημένος τε, δέσμιός τ' ἀπηγμένος,
ἐχθροῖς γέλως ᾖ· πτωχὸς ἠδ' ἀνόμματος,
ῥιφθεὶς ἐς οἴκημ'· ἔνθα δουλίων ἀεὶ
κοινωνὸς εἶναι τοῖς γε συνδούλοις πόνων.
φεῦ. εἴθ' ὤφελ' ἔργων οὕνεκ' εὐκλεεστάτων
ὅστις Θεῷ γοῦν ἦν ἅπαξ εἰλεγμένος·

οὗτός γ' ἁμαρτὼν εἰ κατ' ἄνθρωπον τύχοι,
μὴ παντάπασιν ὧδ' ὑποβρυχὴς τελεῖν·
αὐτῶν δ' ἕκατι τῶν πρὶν εὖ πεπραγμένων,
πρέπων ἂν εἶναι μὴ, καθάρματος δίκην,
σκληρῶν τε κᾀσχρῶν, ὧδ' ἀποῤῥιφθεὶς, κυρεῖν.

ΣΑ. Ὡς μέν τι τούτων τῶν κακῶν θείαις, πατὲρ,
γνώμαις τέτακται, μή ποτ' οὐκ ὀρθῶς λέγεις·
αὐτὸς δ' ἁπάντων αἴτιος πέλω μόνος,
ἀρχηγὸς αὐτός· αἰσχρὰ δ' ὄντα, μωρίας
οὔτοι τό γ' αἰσχρὸν τῆς ἐμῆς ὑπερφέρει.
ὅστις τὰ σιγῆς ἐγγύαις ὑπόχρεω,
ἄῤῥητα τοῦ Θεοῦ παραλαβὼν μυστήρια,
ταῖς ἀλλοφύλων ὡς βέβηλ' ἀπιστίαις,
καὶ τοῖς γυναικῶν καταπροδοὺς ἔχω δόλοις.
ὧν καὶ σάφ' εἰδὼς μηδὲν ἦν κεκλεμμένος,
τῆς πολλάχις γε τῆς προτοῦ πείρας μαθών.
οὐ γὰρ τὸ πρῶτον, ὡς ἀποῤῥήτων ἐμῶν
ἡ Θαμναθῖτις κυρία καθίστατο,
αὐτῶν παρᾴξασ' ἐν γάμων περιπλοκαῖς·
φέρουσ' ἔδωκεν οἷς διεφθάρθη γ' ὑπὸ,
κατασκόποις τε κᾀνταγωνισταῖς ἐμοῦ;
οὐκοῦν τι ταύτης ἡ 'τέρα πίστεως πλέον
μετεῖχεθ'; ἥτις νυμφικῶν τ' ἀσπασμάτων,
ἀκμῇ τ' ἔρωτος, χρυσίου γεγευμένη,
εἰ καὶ πρὸ χειρῶν, ὄμμασίν τ' ἰδεῖν μόνον·
ὀσμῆς ἀπ' αὐτῆς, ψευδέων κυήμασιν,
προδότις καθ' ἡμῶν, μοιχὸς οὖσ', ἡλίσκετο.
τρὶς γὰρ στεναγμῶν προσβολαῖσι καὶ λιτῶν,
καὶ τοῖς φιλούντων ὡς ὀνειδισμοῖς φίλων,
ἐπείρασ' ἡμῶν· εἴ τί πως μυστηρίων
ἑνὸς κρατίστου τῶν ἐμῶν ἁρπάγμασιν,

θησαυρὸν ἡμῶν τῆς βίας ὅποι ποτὲ
σῴζοιτο κρυφθεὶς, πάντ' ἔχοι 'γνωρισμένον.
τρὶς δ' ἐξεκλίνθην, παιδιᾷ παρεκτραπὼν
προσλιπαροῦσαν, ξυννοῶν θ' ἑκάστοτε
ὡς δῆτ' ἀναιδῶς, κοὐδέ γ' ἐντραπεῖσ' ἔτι,
ἐχθροῖσι μισθοῦ τἀμὰ πάντ' ἀπημπόλα·
καὶ μεῖζον ἔχθους μὴ κεκρυμμένου κακὸν,
ὅσης μεθ' ὕβρεως τοῦ προδόντος ἤθελεν
αὐτὸν καθ' αὑτοῦ σκαιότητ' ὀφλισκάνειν.
τὸ δ' αὖ τέταρτον, ξυμμάχων ὡπλισμένη
ἁπάντι τεχνῶν τῶν γυναικείων γένει,
θωπευμάτων τε, κὠαριστύων δόλοις·
ἐπεὶ οὔτε νύκτωρ, οὔτε δὴ μεθημέραν,
γλώσσης ἐπαύσθη χρωμένη τοξεύμασιν·
ἀγρυπνίαις τε καὶ κόπῳ νικώμενον
πορθεῖ κατ' ἄκρας, ἔνθα καὶ κοιμημάτων
χρεία τις ἄνδρας, κἀνέσεως μάλιστ' ἔχει.
τότ' οὖν ὑπείξας, αὐτὰ δὴ τῆς καρδίας
τἄσωθ' ἀνέπτυξ' ἐν μυχοῖς κεκρυμμένα.
ᾧ γ' εἴ τι τἀνδρὸς ἦν ἀληθίνως μετὸν,
δόλων ἂν αὐτῆς ἦν ἀπηλλάχθαι ταχύ.
τρυφῆς δ' ὑποδμὼς, θηλυκῶν ἠνεσχόμην
ἑκὼν ἀναγκῶν· τοῦ καλοῦ κηλὶς γεγὼς,
τῆς τ' εὐσεβείας· δουλικῶν τε ζημιῶν
κύρσας δικαίως ἀντὶ δουλίων φρενῶν,
αἰσχρῶν τ' ἐν ὧν νῦν τῷ βάθει πεσὼν ἔχω.
οὐ γὰρ τὰ τρυχῶν, οὐδ' ἄρ' αἰσχίω μυλῶν
ἔφυ τὰ τούτων, ἢ τὰ πρὶν λατρευμάτων
ἀδοξ', ἄνανδρα, δυσκλεᾶ, δυσώνυμα,
δουλεί' ἀληθῶς, τυφλότης τ' ἐν τῷ τότε,
ἡ μὴ ξυνῄδειν οὖσα δυσγενὴς λάτρις.

ΜΑ. *Γάμων μὲν, ὦ παῖ, σ᾽ οὐκ ἐπαινέσας ἔχω·*
ψόγου δὲ μᾶλλον ἠξίουν ἂν, εἴ τι μὴ
αὐτὸς τὰ τῶν Θεοῦ προτροπῶν ἐπῃτιῶ,
καιρόν τιν᾽ ἐχθρῶν, τοῦ κακῶς ποιεῖν, σκοπῶν.
ταῦτ᾽ οὖν ἐάσω· καίπερ εὖ γ᾽ εἰδὼς, ὅτι
καιροῖς τάδ᾽ ἐχθρῶν θᾶσσον ἀνθυπηρέτει,
ὥς σφιν σύ γ᾽ ἁλοὺς, καὶ θριαμβευθεὶς ἔχοις·
αὐτός τε μᾶλλον ὧδέ πως παρηγμένος,
ἥσσων γε κάλλους τῆς ἄγαν βίας γεγὼς,
τἄθικτον ἱρῶν ἔφθανες παρεὶς τό σοι
παρεγγυηθὲν τῶν ἀποῤῥήτων χρέος.
ἔστω δὲ, τούτων αὐτὸς ὡς θἀμάρτια
ἅλις μὲν ἤδη, κἄθ᾽ ὑπερφέρων, τίνεις·
σκληρῶν θ᾽ ὑπόχρεως τῶν δανεισάντων κυρεῖς,
πικροῖς τε τοῖς πρὶν, τοῖς τε μέλλουσιν τόκοις.
ἀλλ᾽ ἕν τι τούτων λοιπὸν ἄλγιστον κλύειν·
Γάζης γὰρ εἴσω σήμερον πανήγυρις
τοῖς ἀλλοφύλοις πλησίον κατεστάθη,
πολλῷ ξὺν ὄχλῳ, καὶ χορῶν καὶ θυμάτων,
Τρίτωνος αὐτῶν τοὔνομ᾽ ἐκπαγλουμένοις·
ὅς σφισι τὸν ἐχθρὸν, δέσμιον κἀνόμματον,
Σαμψῶν᾽ ἐκεῖνον, ἐς χέρας δέδωκ᾽ ἔχειν·
αὐτοὺς δὲ τῶν σῶν παντελῶς ἐῤῥύσατο,
τῶν σφιν τὸ πλῆθος προξενησασῶν θανεῖν.
κἂν τῷδ᾽ ὁ Τρίτων αὐτὸς ὑψωθήσεται,
παρ᾽ ὃν δὲ μηδὲν οὔτις ἐστ᾽ ἄλλων θεῶν,
τούτου προσώποις ξυγκριθὲν πεπλασμένοις,
ἄτιμ᾽ ἀνοσίως, τῶν κατειδώλων μέσῃ
χορῶν παρ᾽ ὕβρει, κἂν παροινίᾳ, σέβας
γλώσσης ἀσελγῶν τεύξεται βλασφημιῶν.
τῶνδ᾽ οὖν ξυνειδὼς αὐτὸς αἴτιος γεγὼς,

τἄλγιστον ἤδη τῶν κακῶν, ὦ παῖ, νέμειν·
σοὶ δ' ἓν τὸ πάντων, ὡς δι' αἰσχύνης κλύειν,
αὐτῷ τ' ὄνειδος, τοῖς τε τοῦ πατρὸς δόμοις,
ΣΑ. Ὡς μὲν δι' ἡμᾶς τοῦ πολισσούχου, πατὲρ,
Τρίτωνος αὐτῶν ὧδ' ἐπυργώθη κράτος·
ἡμεῖς τ' ἐπαίνοις ἐθνέων ἁπανταχοῦ,
τιμαῖσί τ' αὐτόν ἐσμεν οἵ γ' ὠγκωκότες·
ξύμφημι καὐτὸς, καὶ ξυνήγορόν μ' ἔχεις.
ὣς δ' αὖ τὸ θεῖον αὔτός εἰμ' ἀτιμίᾳ
προπηλακισμῷ θ' οὔμβαλὼν, ἀναίδεσιν
τοῖς τῶν ἀπίστων κἀθέων κομπάσμασιν·
τοῦ λεὼ δ' ὑπάρχω σκάνδαλον, καὶ καρδίαις
ταῖς μὴ βεβαίαις, καὶ θεοῦ δ' ἀφεστάναι
τὸ πρίν γ' ἑτοίμοις, καὶ πρὸς εἴδωλα ῥέπειν·
τῆς ἐς τὸν αὐτῶν μοῦνον ὄντα προστάτην,
ἀρχηγός εἰμι πᾶσι τῶνδ' ἀπιστίας.
ἀνθ' ὧν δι' ἀλγῶν καὶ δι' αἰσχύνης ἀεὶ
ἧκον μάλιστα, τῆς ἀγωνίας ὕπο
κῶδῖνος ἐντός· ἥτις οὔτ' ἐπ' ὄμμασιν
ῥέπειν τὸν ὕπνον, οὔτ' ἄρ' ἐνθυμημάτων
κλύδωνα τῶν μού γ' ἠρεμεῖν ἐᾷ ποτε.
ὅμως δὲ κἀν τοῖσδ' ἐλπίδων μ' ἔσηνέ τις·
ὅθ' οὕνεχ' ἡμῖν τὴν κρίσιν γ' ἅγὼν ὁ πρὶν
εἴληχεν ἤδη· κεἴ τι λείπεται μάχης,
αὐτοῦ γε τοῦ Θεοῦ, τοῦ τε Τρίτωνος τόδε.
ἐμῶν ὁ Τρίτων ἐκ παλαισμάτων τόσον
φρονεῖν τεθάρσηχ', ὥστε κἀντανιστάναι
ἤδη γε τῷ Θεῷ, ξυμβαλεῖν ἕτοιμ' ἔχων
κράτος τό γ' αὐτοῦ πρὸς τὸν Ἀβράμου σέβας.
ὃς καὶ προκληθεὶς οὔ τι μὴ σιγῶν ἔχῃ·
ἀλλ' ἐν τάχει τῳ πρὸς μάχην θωρήξεται,

ὄνομα τὸ σεμνὸν αὐτὸς ἐκδικούμενος.
κύψει δὲ Τρίτων, οἶδ᾽ ἐγώ, κοὐκ ἐς μακρὰν
πληγήν τιν᾽ ἔσται καιρίαν πεπληγμένος,
ἢ καὶ τροπαίοις τοῖς ἐμοῖς γαυρούμενον,
σκύλων τε τῶν πρὶν πάντα γυμνώσει πάλιν,
δούλοις τ᾽ ὄνειδος ξύγχυσίν θ᾽ αὑτοῦ λιπεῖ.

ΜΑ. *Τούτων μὲν οὕνεκ᾽ ἄξιον θαρσεῖν, τέκνον,*
ἤδη τε τὸν σὸν χρησμὸν ἡγοῦμαι λόγον.
ἐπεὶ οὐκ ἐς ὥρας μὴ, σάφ᾽ ἴσθ᾽, ὑπερβάλῃ
τῆς αὐτὸς αὑτῷ τὸν χρόνον τιμωρίας
ὁ Θεὸς, πρὸς ὁτιοῦν τῶν ἐναντιουμένων·
οὐ μὴ δ᾽ ἐάσῃ τοῦτ᾽ ἰσόῤῥοπον μενεῖν,
εἴ τ᾽ αὐτὸς, εἴ τ᾽ οὖν κύριος Τρίτων πλέον.
μεταξὺ δ᾽ αὐτὸς ὡς ἀμείνονός τινος
τῆς νῦν κυρήσεις, σκεπτέον γ᾽, ὦ παῖ, τύχης.
οὐ γάρ σ᾽ ἀνόλβως κἀθλίως ὀλωλότα
ἐν τοῖς τοιούτοις ὑπεριδεῖν κακοῖς πρέπει.
καὶ μὴν ἀποίνων καὶ λύτρων μεμνημένος
πρὸς τοὺς ἄνακτας τῶν Παλαιστίνων τινὰς,
κατηρξάμην σοι μηχανῶν σωτηρίας.
ἅλις γὰρ αὐτοῖς τῆς ἄγαν τιμωρίας,
τῆς ἐς σ᾽, ὁ θυμὸς ἐμπεπλησμένος κυρεῖ·
οἳ καὶ δι᾽ ἔχθρας καὶ δι᾽ αἰκιῶν τόσον
ἐπῆλθον, οὐδὲν τοῦ θανεῖν λελειμμένων,
τῷ μηδὲν ἂν σφᾶς μηκέτ᾽ ἔρξαντι βλάβης.

ΣΑ. *Τῶν σῶν μὲν ἤδη τῶνδε τῶν ἐντευξέων*
φείδου, πατέρ, μοι· μηδὲ λιπαρῶν κάμῃς.
ἔα δ᾽ ἅπασαν τοὐπί μοι τὴν ζημιὰν
ὄφλειν ἔμ᾽ ὧδε τῆσδε τῆς γλωσσαλγίας,
ὡς καὶ προσῆκον. εἰ γὰρ ἀνθρώπων τινὸς
λαβὼν ὁποῖ᾽ ἂν, ἢ φίλων, ὑπέγγυα

σιγῆς φυλάξαι, πᾶσι ταῦτ᾽ ἀνήγγελον·
καλόν γ᾽ ὄνειδος τοῦτ᾽ ἂν ᾖ κεκτημένος
πᾶσιν μὲν ἐχθρὸς καὶ κατάπτυστος γεγὼς,
σπουδῆς δὲ πίστεώς τ᾽ οὐκέτ᾽ ἠξιωμένος·
λάλοις τ᾽ ἐτάχθην κἀθυροστόμοις μέτα,
μωροῦ προσώπῳ στίγματ᾽ ἐγγεγραμμένος·
πῶς ἂν δ᾽ ὁ θείων, ὡς ἐγὼ, μυστηρίων
κοινωνὸς εἶναι πᾶσιν ὢν ἐξαίρετος,
ἔπειτα τούτων μηδὲν ἐντετραμμένος,
ὡς δὴ βεβηλων, ἡδονῆς θ᾽ ἡσσημένος
γλώσσης, ἀναιδῶς πάντα κηρύξας ἔχων·
δίκης ἐς ὀρθὸν ζημιούμενος τύχοι;
ὃν καὶ παρ᾽ ἐθνῶν ἱστορεῖν καθειργμένον
μύθοις, ἀβύσσων ταρτάρων τ᾽ ἔσω πάρα,
δειναῖσι δεινῶν ταῖς δίκαις πεπραγμένων.

ΜΑ. Καλῶς μὲν, ὦ παῖ, τοῖς πρὶν ἡμαρτημένοις
λυπούμενός τε καὶ μετεγνωκὼς ποιεῖς·
ἀλλ᾽ οὔ τι τοῖς σοῖς ὢν ὑπηρέτης πόνοις.
ἀλγεῖν μὲν οἷς γ᾽ ἥμαρτες· εἰ δ᾽ ἁμαρτιῶν
γενήσεταί πως τὴν βλάβην ὑπεκδραμεῖν,
ἔρδειν τάδ᾽, αὐτοῦ προσκοπῶν σωτηρίας.
ἢ καὶ τὰ βουλαῖς τῶν ἄνω τεταγμένα,
ἐᾷν σέ γ᾽ εἶναι τοῖς ἄνω τελούμενα·
ἄλλων τε χερσὶ πρακτόρων κεχρημένος,
κοὐ μή τι ταῖς σαῖς, τοὐπιτίμιον τίνειν.
ἴσως τὸ θεῖον δ᾽ αὐτό σοι ξυγγνώσεται,
πάντων τ᾽ ἀφήσει γ᾽ ὧν ὑπόδικος οἷ κυρεῖς.
ᾧ καὶ πρὸς αἰδῶ κἀντροπὴν ἐσταλμένων,
τὰ τῶν ταπεινῶν μᾶλλον, ὡς τέκνων, φίλα,
ἢ τῶν καθ᾽ αὑτῶν ὡς ἄγαν σκληρουμένων,
οἷς αὐτόβουλος ὥρισεν ψῆφος θανεῖν,

δίκης ἐρασταῖς τῆς ὑπερδίκου τινὸς,
ὧν δ' αὖ πάθωσι τὴν βλάβην, ἐσφαλμένοις
σφίσιν τι τούτοις, ἢ Θεῷ ξυνειδόσιν.
μὴ δῆτ' ἀφορμῆς εὐπορῶν σωτηρίας,
προδῷς τὸ σαυτοῦ· τοῦδε γὰρ τάχ' ἂν χάριν
καὶ τήνδ' ὁ δαίμων ἐπιχορηγήσας ἔχοι,
ὅπως ἐπ' οἴκων, καὶ πρὸς οἰκείων σέβας
νεὼν καταχθεὶς, προσφορῶν δωρήμασιν,
λιτῶν τε κεὐχῶν αὖθις εὐσεβήμασιν,
ἀθῷος ὀργῆς τῆς γε πλείονος κριθῇς.

ΣΑ. Ξυγγνοὺς μὲν, αἰτῶ, χἵλεως ἔχοι Θεός·
τὸ ζῆν δὲ, τίς μοι τοῦδ' ἔθ' ἵμερος τύχῃ;
σθένει γὰρ ἀνδρῶν πᾶν ὑπερβαλὼν γένος,
σεμνῶν ποτ' εἶχον ἐλπίδ', ἠδ' ὑπερφρόνων·
νέων ἐφ' ὕψει γαῦρος ὢν νοημάτων,
καὶ τἀμὰ χρησμοῖς οὐρανοῦ γεννημάτων
μαντεύματ' εἰδώς· οἷα καὶ κινημάτων
ὁρμαῖσι θείων οὐκ ἂν ἀμπλακεῖν ποτε,
τὸ μή τιν' ἔργων καιρὸν ἀξίων λαβεῖν.
καὶ δή τι ῥέξας, οὐκ ἀφ' ἡρώων τύχης,
βίας δὲ μακρῷ τῆς πρὶν ἐξοχώτερον,
τῆς τῶν Ἄνακτος· ᾐσθόμην ἁπανταχοῦ
εὔδοξος ὤν τις, καὶ περίκλυτος γεγώς.
ᾧ καὶ παρ' ἐχθροῖς, μηδὲν ἐννοουμένῳ
οὔτ' οὖν ἀπειλῶν, οὔτε κινδυνευμάτων,
ἐξῆν βαδίζειν, μηδενός ποτ' ὄμμασιν
τολμῶντος ὀρθοῖς ἀντίον μοι ξυμβαλεῖν·
ὡς οὐ κατ' ἄνδρας, δαίμονας δ' ὁρωμένῳ.
δι' ὧν ἐπαρθεὶς, καὶ παρεμπλεχθεὶς δόλοις
τοῖς ἀφροδίτης, ὀμμάτων ῥιπαῖς σφαλεὶς,
τρυφῇ τ' ἐθέλχθην, κἀβρότητι τῶν τρόπων·

ἕως τὸν ἀλκῆς ὡς μάλιστ' ἀπόκρυφον
θησαυρὸν, εἴσω κρατὸς ἐσφραγισμένον,
λάγνων τε κόλποις ψευδέων τε παλλακῶν
φέρων παραγκάλισμα κοιμήσας ἔχειν·
ὅπου γε κριῶν χειρὸς οὐκ ἀνηκόων
τρόποις, ἅπαντα πλοῦτον ἐξυρημένος
τὸν πρόσθε μαλλῶν, γυμνὸς ὢν, γέλως τ' ἰδεῖν,
θύραζ' ἐρίφθην, τοῦ φθάνοντος ἁρπάσαι·
ψιλὸς τὰ κρατὸς δυσμενῶν προβλήματα.

ΧΟ. Καὶ μὴν τὸν οἶνον, πάντα τ' αὖ κυκημάτων
τἀφίμερ' ἄλλων, κἀπαγώγ' ἡδύσματα,
ὑφ' ὧν ἄπειροι πτώματ' οὐκ ἀνασχετὰ
σφαλέντες ἔπεσον τῶν πάλαι δορικλύτων·
αὐτὸς, σάφ' οἶδα, ῥᾳδίως ἐκαρτέρεις.
οὐδ' οὖν τὰ φαιδρὰ πορφυρῶν σκιρτήματα
δρόσων, ἔσωθε τευχέων γεγηθότα,
θεῶν τε κἀνδρῶν θέλκτρον ὄντα καρδιῶν·
οὐ γεῦσιν, οὐδ' ὀσμήν τιν' οὐδεπώποτε,
λαμπρῶν σ' ἀπέσπα καὶ διαυγέων ῥοῶν.

ΣΑ. Εἴ πού τι κρουνῶν, ἤ τι ναμάτων γάνος,
βολαῖς ἑῴαις ἀντίον τετραμμένον,
ῥάβδων ἀκράτου προσθιγόντ' αἴθρης πυρὸς
κρύσταλλον αὐγαῖς ἀντέφαινεν ἄσπιλον·
λευκὰς ποτισθεὶς καὶ γαλακτώδεις ῥοὰς,
οὐδέν τι τούτοις ἐφθόνουν, ὅσοις κάρα
οἴνου 'βάρυνεν τἀναθυμιάματα.

ΧΟ. Μέμηνεν, ἀνδρῶν ὅστισοῦν τόδ' ἰσχύος,
ἢ τῆς ὑγείας, οἴεται τὸ κύριον,
εἴ τ' οἶνον, εἴ τ' οὖν τῶν ποτῶν ἅπαν σθένος.
ὧν δὴ πρόμοισι μηδὲν ἦν κεχρημένον
τοῖς οἷς τὸ θεῖον, οὐχ ὑπερβάτοις βίαν,

πίσας σφ' ὑδρηλὰν λιβάδα πρὸς τροφὴν μόνον.
ΣΑ. Τί δ' οὖν τὸ τούτων μηδὲν ἡσσῆσθαι, πλέον
ἐγίγνεθ' ἡμῖν, ἐνδεῶς πρὸς ἄλλο τι
ἔχουσι φυλακῆς, τῶν ἐπισφαλεστέρων;
τί δ' αὖ μιᾷ τις τῶν πυλῶν πεφράξεται,
ἀφεὶς τὸν ἐχθρὸν θατέρᾳ παρεσβαλεῖν,
τρόποις γυναικῶν εὐμαρῶς χειρούμενος;
τυφλὸς μὲν οὕτω, καὶ καταισχυνθεὶς γεγὼς,
δύσελπις ἤδη, κοὐκέτ' εἰς ἄνδρας τελῶν,
ἔστιν ποθ' οὗ 'γωγ' ἄξιος γενήσομαι,
εἴ τ' οὖν πολίτας τοὺς ἐμοὺς εὐεργετῶν,
εἴ θ' οἷς ἐτέχθην οὐρανῷ διακονῶν;
οὐδ' ἄλλο μηδὲν, πλὴν τὸ δὴ παρ' ἐσχάραις
ἀχρεῖον ἄχθος ὥστε κηφήνων τρέφειν·
θεάτρον ἄλλως ἱστοροῦσιν ὧν μαθεῖν,
ἢ καὶ δι' οἴκτου· τῶνδε βοστρύχων μάτην
τὰ νῦν κατ' ὤμους κρωβύλων ἀγλᾴσματα
μνημεῖον ἀλκῆς τῆς ὀλωλυίας κρατῶν.
ἕως χρόνῳ τε κἀργίᾳ ναρκῶν ποτε
ἅπασαν ἄρθρων τὴν πρὶν ἐκλυθῶ βίαν,
ἀνώνυμον τὸ γῆρας ἐν σκότῳ τρέφειν.
ἀφὲς πρὸ τούτων τῇδε θητεύσας ἔχω,
μισθοῦ γ' ἕκατι τῶν καθημέραν τροφῶν·
μέχρις πίτυρον δούλιον σιτούμενον,
ἢ φθειρόβρωτον, τῆσδε τῆς ἀλουσίας
γέρων πίνος τις πάντ' ἀναλώσας κυρεῖ·
κἀμοὶ μετ' εὐχῶν πολλάκις καλούμενος,
τὸ τέρμ' ἁπάντων ἐγγίσει πότμος κακῶν.
ΜΑ. Οὔκουν τὰ δώρων πρὸς βλάβην εἰλημμένα
ἐχθρῶν, τάδ' αὐτοῖς ὧδε δουλῶσαι θέλεις;
κλινῶν ἄμεινον δεμνίοις βεβλημένος

πράξαις ἂν, ἔργων οὐχ ὅπως ἀνειμένος,
λήθῃ δὲ γήρᾳ τ᾽ ἀκλεῶς ἀπανθίσαι.
καίτοι γ᾽ ὁ χέρσον, ἐκ μάχης αἰτουμένῳ
ἄκος τι δίψης καὶ πόνων θελκτήριον,
ῥήξας χυδαίων ἅλμασιν τῶν πιδάκων·
θέλων ἂν οὗτος, ὀμμάτων τὸ δὴ πάλαι
δεδυκὸς εἴσω, ῥᾳδίως σοί γ᾽ ἔμπαλιν
τὸ φῶς ἀνάψαι· πρὸς χάριν λατρευμάτων
ἀνατέλλον αὖθις τῶν πρὶν εὐσεβεστέρων.
καὶ τοῖσδ᾽ ἐπείσθην· οὐ γὰρ ἂν ποτ᾽ ἄλλοθεν
ἔμεινεν ἀλκῆς τοῖσδέ σοι σεσωσμένα
πλόκοις τὰ λείψαν᾽· ἀλλὰ κεἰσέτι σθένους
τηρεῖς τὸ θεῖον· οὐδ᾽ ἄρ᾽ αὐτὸς ἔσθ᾽ ὅπου
δώρων τὰ θαύματ᾽ ἐς μάτην τελεῖν ἐᾷ.
ΣΑ. Πάντ᾽ ἄλλα τούτων, τοῖς τε σοῖς ἀξύμβατα,
ἅ μοί γ᾽ ὁ θυμὸς ἔνδον οἰωνίζεται·
οὐδέν ποτ᾽ αὖθις κοινὸν ἐλπίσας ἐμοῖς
σκότου κύκλοισι, καὶ φάει ξυναλλαγῆς.
οὐδ᾽ οὖν τὸ φέγγος θάτερον δαρὸν μενεῖν
δισσῶν ἄμοιρον, τοῦτο δὴ τοῦ ζῆν, νεφῶν·
ἀλλ᾽ ἐγγὺς ἤδη τὰς βίου δυσμὰς τελεῖν.
καὶ ταῦτ᾽ ἐναργῶς πνεύματος ξυνηκάμην
ἀδημονοῦντος καὶ προειμένου δ᾽ ἐμοῦ.
καλῶν τ᾽ ἐς ἐλπίδ᾽ οὐκέτ᾽ ὀρθοῦσθαι σθένει,
ἄσην τιν᾽ αὑτῆς ἡ φύσις κεκτημένη
τὸ λοιπὸν ἔργων· τῶν δ᾽ ἄρ᾽ εὐκλείας ὁμοῦ,
καὶ τῶν ὀνείδους, θάτερον κάμψας διπλῶν
κῶλον διαύλων, οὐ φθάνοιμ᾽ ἂν οὐκέτι
ξὺν τοῖς ἐσαιεὶ κειμένοις ὑπνούμενος.
ΜΑ. Μηδὲν σὺ τούτων ἐντράπῃ μαντευμάτων,
ἅ σοι μέλαινα θεσπίσασ᾽ ἔχει χολὴ,

καὶ τῶν σκυθρωπῶν ἐλπὶς ἡ κακὴ φρενῶν.
τοὐμὸν δ' ἂν οὕτως οὐ πρέποι 'μελούμενον·
εἴ πως τεκόντων καιρίαν τοι προσφέρων
σπουδὴν, τίν' εὕρω σῆς πόρον σωτηρίας,
εἴ τ' οὖν ἀποίνοις, εἴ θ' ὅτου ποτ' εὐτυχῶ.
μεταξὺ θαρσῶν δ' ἥσυχός τ' αὐτὸς μένειν,
λόγοισι τούτων ἠπίοις κεχρημένος.

ΣΑ. Ὦ σκληροὶ βασάνων νόμοι,
οἷς οὐκ ἀπέχει σώματι
περιγραφθεῖσιν· καίπερ ἀπ' ἄκρας
κεφαλῆς γε, ποδῶν μέχρις ἐσχατίας,
μηδενὸς εἴσω σώου ἔχοντος,
μήδ' ὑγιείας ἔτι λοιποῦ.
Κρυπτοῖς παρόδων δ' οἴμοις
ψυχῆς ἐς τὰ μυχαίτατα
θάλπος ἱκνούμενον ὀδύνης ἤδη,
καὶ τῶν ἀγρίων ἐνθάδ' ἀναγκῶν
ἐπιτεινάμενον ξύμπαν τὸ κράτος·
σπλάγχνων τε μελῶν θ' ὥστε, καὶ ἄρθρων,
λίπα τὴν πρόσθεν θοινησάμενον,
τῶν ἁγνοτάτων καὶ ἀκηρασίων
ψυχῆς θαλάμων αἷμα ῥοφήσει.
καὶ σωματικῆς καίπερ ἄμοιρον
πάσης μὲν ἁφῆς, μηδὲν ἔλασσον
τἄλγημ' ἀντίστροφον ἄξει.
Οὐδ' ἄρα τοὐμὸν χαλεπαῖς με νόσοις
χρόνιον μὲν ἄγει λύπημα μόνον·
τῆς θαλπωρᾶς δ' ὂν ἀνέλπιστον,
καὶ λωφήματος, ἀπροφασίστως
πικρηνάμενόν γ' ἔζεσεν ἤδη·
δυσθεραπεύτων ὃν τρόπον ἑλκῶν

δεινὸν ἔσωθεν μένος ἐντίκτει
πῦος ὕπουλον· μέχρι μελαίνης
ὑπὸ γαγγραίνης
ἔμβιον ἤδη νενέκρωται.
Αἶ. Αἶ.
'Αεί τι δεινῶν πλῆθος ἐνθυμημάτων
ἐμοὶ 'πὶ βασάνῳ γ' ηὐτρεπισμένον πάρα·
κἄνδον τερείνων εἴ τίς ἐστ' αἰσθησέων,
ταύτην ἀπείροις ὄρμενον κεντήμασιν,
νύσσειν μάλιστα καὶ κρεωκοπεῖν φιλεῖ.
καὶ τῆσδ' ὑφ' ἑλκῶν, πλεῖστον ἠγριωμένης,
τοσόνδ' ἐχρίσθην τῆς ἔσω θάλπος φλογὸς,
ὅσον οὔτε ποιῶν ψῦχος, οὐ παιωνίων
σβέσειν ποτῶν τί γ'· οὐδ' ὀρῶν ὅσα πνοαῖς
ῥιπίσματ' ἦρος ἐξαφίησιν χιών.
προδοὺς δὲ τοὐμὸν ὕπνος ὄμμα, κώματος
ἀφῆκέ μ' ἤδη θανασίμου μόνον τυχεῖν,
νάρκαισι φίλτρων ὑστάταις νηπενθίνων.
καὶ ταῦθ' ὁ θυμὸς τοῖσδε τοῖς ἐκλείμμασιν
ψυχοῤῥαγοῦντος πολλάκις τοῦ πνεύματος,
καὶ Θεῷ ξυνειδὼς προὔμαθεν μονούμενος.
ἦ μὴν παλαιῶν τῶν ἐμῶν Θεῷ τροφῶν
μνήμην ἔτ' ἔσχον· ὥς τε μητρόθεν γ' ἐμὲ
πρὸς χάρμ' ἑαυτῷ, κἀγαπητὸν εἵλετο·
ὃς καὶ δὶς οὐκ ὄντ' οὐρανόθεν ὑπέσχετο.
γεγὼς δ', ὑπ' αὐτοῦ τῶν χερῶν ἀνέδραμον,
πάντων ἀφεστὼς, εὐλαβούμενός θ' ἃ χρῆν.
αὐτός τ' ἐπελθεῖν ἐργμάτων τολμήμασιν
προὔτρεψε, θνητῶν κρεισσόνων βραχιόνων,
ἐχθρῶν ἑαυτοῦ κἀπεριτμήτων κατα.
τανῦν δ' ἄρ' ἄγνωθ' ὥς τιν' ὄντα, καὶ ξένον

αὐτοῖς με τούτοις ὑπερορᾷ χειρούμενον,
ὧν μῖσος αὐτῷ 'κτησάμην πεπεισμένος.
ἤδη τ' ἀχρεῖον, ὀμμάτων τητώμενον,
ἄλλων μ' ἀεί ποτ' ἐνδεῆ 'τευξεν χερῶν·
ζῆν μὲν παρ' ἐχθροῖς, εἴ τε πρὸς τιμωρίαν,
εἴ τ' οὖν γέλωτος οὕνεκ', ἐζωγρημένον.
οὐδὲν δ' ἐμοίγε κοινόν ἐστι κἀλπίδι·
κακῶν γὰρ ἀμῶν πάντ' ἀνιάτως ἔχει.
ἑνὸς δὲ λοιπὸν καιρίαν ἤδη τύχην
ἐκλιπαρήσας, καίπερ ὄντος ἐγγύθεν,
τέλος θ' ἁπάντων, φάρμακόν θ' ἕξω θανών.

ΧΟ. Σοφῶς μὲν οὖν πολλὰ βίβλοισι, στ. α΄.
πολλὰ δ' αὖ λόγοισι,
τοῖς τ' ἀρχαίοις τοῖς τε νέοισι
σώζεται φανέντα·
τὰν καρτερίαν μόναν
ἴασιν ἔχειν κακῶν.
τᾶς μὲν ξὺν ἐπαίνῳ
πιθανῶς αὐτοῖς μελετάματ' ἔχει
τὰ παραγοριᾶν, περὶ παντοδαπῶν
ἀλγῶν τε μεριμνᾶν τ',
εἴ τί γ' ἐλαφρὸν ἔσται.
'Οπὸς δὲ τούτων βαρύτατα ἀντ. α΄.
καρδίας ἔσωθε
μηδὲν κοιμᾷν φίλτρον ὑπῆρξεν·
εἴ τι μὴ μελῶν τόδ'
ἄλλως παράπαισμ' ἔδο-
ξεν ταῖς ἀκοαῖς κλυεῖν,
κἀξύμμετρον ἄλγει.
τόδε γὰρ παγᾶς γάνος οὐρανόθεν
πάρα γ' εὐφροσύνας, ὀδυνᾶν τὸ πάλιν

πνεῦμα ξυναγεῖραι,
καὶ σθένος ἀνακύψαι.
Ὦ Θεὸς, ὦ τῶν τε πατρῶν στ. β΄.
χἀμέτερος· τίς ποθ᾽ ὅδ᾽ ἐσθ᾽,
οὗ χάριν αὐτὸς χέρα σὰν
ἄλλοτέ τοί γ᾽ ἀλλοτέρως
δι᾽ αἰῶνος βραχέος
καὶ χαλάσεις, καὖτε τενεῖς,
πρὸς τὸ προνοίας ἀβέβαι-
ον ἄρ᾽, ἦ κεἰ θέμις εἰπεῖν,
πρός τινα καὶ δόξαν ἀνω-
μαλίας ; οὐδ᾽ ἴσον ἀγ-
γελικῷ γένει, οὐδ᾽ οὖν
τοῖς ἀλόγοις, ὧδε τὸν ἄν-
θρωπον ἄγεις διαπαντός γ᾽,
ἀκίνητα κρατύνων.
Οὐδ᾽ ἄρα τὸν πλεῖστον ὄχλον ἀντ. β΄.
τόνδε βροτῶν, οἷς θερινῶν
οὔ τι μυιᾶν οὐδὲν ἀλαί-
νειν δέδοται, πρὶν τεθνάναι,
πλέον· ὧν καὶ τὸ κλέος
ξὺν σφίσι λάθᾳ τὸ τάχιστ᾽
ᾤχετο· τούτων μὲν ἐγὼ
λόγον οὐδέν τι ποιάσω·
τῶνδε μόνον δ᾽ οὓς σύ γ᾽ ἔχεις
προκρίτους λεξάμενος,
χάρισίν τ᾽ ἐπικοσμά-
σας μεγάλως· σοὶ μὲν ὑπουρ-
γεῖν, μέχρι τοῦ δὲ λεὼν τῶν
σῶν σωτῆρας ἱκέσθαι.
Τούτοις ἄρα πολλάχις γ᾽ στ. γ΄.

ὦδ' εἰς ὕψος ἐπηρμένοις
δόξας καὶ προεδρείας·
ὡς τάχιστ' ἔχειν μάλιστα
τᾶς εὐδαιμονίας ἐν ἀ-
κμᾷ δοκοῦσι, τότε σφίσι
καὶ τὰν χέρ' ὅμοια
πρόσωπόν τε πάλιν στρέφεις·
αὐτός θ' ὧν χαρίσαι' ἴσως,
ὧν τ' αὐτοὶ πάλιν ἀντέδρων,
ἐνταῦθα λέλασαι.
Οὐδ' οὖν καθεδρᾶν μόνον ἀντ. γ'.
τᾶν πρὶν σφᾶς καθελὼν ἔχεις·
τοῦ λαμπροῦ μὲν ἀμαυροὺς,
πρὸς δὲ τἀπιεικὲς αὖθις
ἤδη γ' ἁσυχίας λυθέν-
τας, ἀπράγμον' ἀκλέα δέ τιν'
αἰῶνα τελοῦντας·
ἀλλ' ὅσῳ τὸ περαιτέρω
σοί γ' ἀρθείς τις ἔχει πάλαι·
τόσῳ πρὸς τὸ κατωτέρω
καββλημένος ἔσται.
Πεσὼν δ' ἀκόσμως τις ὧδε, φαίνεται στ. δ'.
μηδὲν βροτοῖς ἁμαρτὼν ἢ λαθὼν
δίκας τόσον ποτ' ἄξιον·
τοῦ καὶ πολλάκις δέμας τὸ σῶν
ἱρὸν ἔθνεσιν πρὸς ξιφῶν φόνον,
κῳρνίων κυνῶν τε βορὰ προκείσεται·
ἢ καὶ ἁλώσεται τυχὸν
τῶν ἀδίκων κρίσει γραφῶν,
τῶν τε χρόνων ξὺν ἀλλαγᾷ,
ταῖς τ' ἀχαρίστων τροπαῖσιν ὄχλων.

Ἄνευ δὲ τούτων, ἀχηνίᾳ γ᾽ ὅμως ἀντ. δʹ.
κἀῤῥωστίαις ἐτρύχθη τις, νόσοις τ᾽·
ἀωρὶ γήραος τυχὼν,
χἄπας λύμασιν διαφθαρείς.
εἰ δὲ μὴ μάταν, οὐδ᾽ ἀναίτιος,
τὰν πρὶν ἁμερᾶν ἀκράτειαν ἐκτινεῖ·
οὐδ᾽ ἀγαθῶν τότ᾽, ἢ κακῶν,
εἴ τις ἔφυ διοίσεταί γ᾽·
ἀμφοτέροις γὰρ ἐς τέλος
τᾶς κακίας ταὐτὸν ἐντέτριπται.
Μὴ δῆθ᾽ ὧδ᾽ ἀγαθόν τε σοῦ ἐπῳδ.
καὶ πιστὸν πρόμαχον προδῷς,
τὸν σοὶ προτοῦ τᾶς ἰσχύος
εἰκόνα τ᾽ αὐτὸν καὶ ὑπηρέταν
ἀντίτυπον γεγῶτα.
καίτοι τί φημι; μὴ οὐχὶ πάμπαν οὗτος
ἤδη σοί γ᾽ ἀμελούμενος,
λόγου μηδενὸς καὶ μοίρας τανῦν
καταξιωθεὶς, διάκειται.
ἀλλ᾽ ὅμως ἔτι κἀκ τῶνδε θέλων
ἂν αὐτός τ᾽ ἀναπαύσας νιν ἔχοις,
τέλος τε πάντων, ἀπολαῦ-
σαι δοίης τινὸς ἁσύχως βεβαίως τ᾽
εἰράνας· δύνασαι γάρ.
Τί δὲ τοῦτ᾽ ἤδη γ᾽ εἴ τε θαλάσσης,
εἴ τ᾽ ἀπὸ χέρσου χρῆμα τέτυκται;
θῆλυ βλέπειν μέν· λαμπρὸν δέ τινα
στόλον ἀμπεχόνης περιβέβληται·
σοβαρῶς ὧδε πλόον ἰθύνον,
νησὶν τὰ μάλιστ᾽ ὄγκον ὅμοιον
μεγαλοπρέπεσιν, ταῖς ἐπὶ νήσων

τοῦ Ἰαονίων, ἢ 'πὶ Γαδείρας,
ἀπὸ Ταρτησσοῦ
στόλον ἀραμέναις ἐπιπλεῦσαι.
Ὣς τόδε κόσμῳ διαθρυπτόμενον,
καὶ ὅπλων κομψῶς πᾶσιν ἔχουσιν,
πληροφορηθὲν πέλας ἐγγίζει,
πέτασάν τ' οὔρων ἱστί' ἁπάντων
πνεύμασι, κόλπων μὲν ὅσοις θαλάμοις
ὀθόναις ἐντὸς φίλα συμπαίζειν.
τῇ μὲν ἀμώμου τεὔπνοον αὐρῶν
ἀντὶ προπομποῦ· χορὸς οὐραγῶν δ'
ὅδε παρθενικῶν
ὀπίσω βαίνων ἀκολουθεῖ.
Ταύτην μὲν ἄν τις, ὡς ἀπ' ὀμμάτων ἰδεῖν,
εὐδαίμον' οὖσαν τῶν Παλαιστίνων τινά·
τανῦν δ', ὅτ' ἐγγὺς ἱστορεῖν ἤδη πάρα,
γυναῖκα τὴν σὴν Δαλιδὰν φαίη βλέπειν.
ΣΑ. Ἦ τὴν κακίστην προδότιν ὡς πέλας κλύω;
ἀλλ' οὔ τι χαίρουσ', ἤν τί μοι προσεγγίσῃ.
ΧΟ. Πρόσω γε βαίνει· νῦν δὲ πλησίον γέ ποι
στήσασα τὸν πρὸς οὖν ἐς σὸν ἐμβλέπει δέμας,
ὡς ἂν προσειποῦσ'· αὖθις αὖ κάτω πάλιν
νεύει πρόσωπον, ὡς δρόσοισιν ἀνθέμων
καρηβαρούντων· εἰ δὲ ῥημάτων τί σοι
ἔμελλεν εἰπεῖν, τοῦτό τοι τηχθὲν πέπλων
βόμβυκος ἄρδει δακρύοις τὸ κράσπεδον.
ὅμως δὲ καὖθις φροιμιάζεται λέγειν.

ΔΑΛΙΔΑ.

Πολλῇ ξὺν, ὦνερ, καρδίας ἐπιστάσει
στρέψασ' ἐμαυτὴν ἐς φυγὴν, ἦλθον μόγις·
τὴν σὴν μὲν ὀργὴν, μὴ οὔ τί μοι παυσθεῖσ' ἔχῃ,

ἥν μοι δικαίως ἔτι τρέφεις, φοβουμένη.
ὡς μὴν ἀθῷός εἰμί σοι τετυγμένη,
ἢ σκῆψιν εἶχον τοῦ κακῶς ποιεῖν τινα,
οὐκ ἂν δυναίμην ὥστ' ἐπισχῦσαί ποτε·
εἰ καὶ τὸ δεινὸν μηδὲν ὑπενόουν τόσον,
ὅσον τί ταύτης ἀντιπέπτωκεν τύχης.
ὅμως δὲ κἀνταῦθ' εἴ τι δακρύων σθένος,
τοὔφλημα λῦσαι τῶν πρὶν ἡμαρτημένων,
τούτων μὲν οὕνεκ' οὔποθ' ὡς ἀναίτιος
τιννύσ' ἐμαυτὴν μέχρι τοῦδ' ἐπαυσάμην·
καὶ ταῦτα πρὸς σοῦ μηδὲν εἰδυῖα πλέον,
ἤ σοι μὲν ὀργῆς μηδέπω μ' ἀφειμένην.
ἔρως δ' ἄρ' οὑ'μὸς, συζύγων μεμνημένος
τῶν τῆσδε τἀνδρὸς τῶν πάλαι στεργημάτων,
φόβων κατέστη, κἀπόρων ὑπέρτερος
πάντων, προπέμψαι μ' ὧδε, πρὸς τὸ σὸν πάλιν
βλέπειν πρόσωπον, πράγμαθ' ἱστορεῖν τε σά·
καὶ τῶν παρόντων εἴ τι λωφήσει κακῶν,
ξυλλαμβανούσης ὡς ἂν ἰσχύσω γ' ἐμοῦ,
ἕτοιμ' ἔχουσαν πάντα σοί γ' ὑπηρετεῖν.
ὅπως ποτ', εἰ καὶ χρόνιον ἐκδεδεγμένος,
ὅμως τὰ μωρῶς κἀθλίως εἰργασμένα
τῶν πρὶν, τινούσῃ χάρισι ταῖς νέαις τισὶν,
ὀργήν τ' ἀφήσεις, καὶ καταλλαχθεὶς ἔσῃ.
ΣΑ. Ἔῤῥοις ὕαινα· ταῦτα γὰρ πανουργιῶν
τά σοί τ' ἐν ἤθει, πάντι τ' αὖ θηλέων γένει,
τῶν μηδὲν ὀρθῶς, σοί γ' ἴσον, τεχνωμένων.
ὅρκους τε, πίστεις, δεξιάς τε καὶ γάμους,
ἄγειν παρ' οὐδὲν, καὶ δολωσάσας γελᾷν·
ἔπειτα λύπης σχῆμά τοι πεπλασμένης
δύσας προσώπῳ, καὶ μεταγνοίας πάλιν,

βῆναι δι' αἰδοῦς, καὶ καταλλαγῆς χάριν
αὐτοῖς ὑποπεσεῖν τοῖς παρεσπονδημένοις·
πολλῶν ξὺν ἄλλων θαυμάτων θ' ὑποσχέσει.
οὐδέν τι τούτοις τῆς ἀληθείας φρονεῖν,
μόνον δὲ τοῦτο γνωρίσαι πειρωμένας,
τὸ χρηστὸν ἀνδρῶν ἠδ' ἀνάλγητον φρενῶν
ἀνεκτὸν αὐταῖς μέχρι τοῦ γενήσεται·
καὶ πῇ κατ' αὐτῶν μᾶλλον ἕξουσιν πλέον,
ἤ τοι πρὸς ἰσχὺν, ἢ τέχνην ὡπλισμέναι.
ὅθεν τι τούτοις εὐλαβῶς ἐγκείμεναι,
αὐταί γε τῆς πρὶν κρείσσονες πανουργίας,
ἥμαρτον αὖθις, αὖθις αὖ δ' ὑπέδραμον.
ἤδη μὲν ἀνδρῶν πολλάκις σοφωτάτους,
αὐτούς τ' ἀρίστους ὄντας, ἥδε χρηστότης
ἔσφηλεν ἥ σφεων· τοῦτό πως ἐγνωκότας
βέβαιον ἕξειν, μηδαμῶς μὲν οὐδένα
λόγον θέλειν ἂν τῆς μεταγνοίας ποιεῖν,
ἀεὶ δὲ μᾶλλον πρός γε συγγνώμην ῥέπειν.
φλαῦρόν τιν' αἰῶν' ἀθλίως διατριβεῖν,
οἰκουρὸν ἰοῦ προστετηγμένους βάρος,
κόλποις ἐχιδνῶν ἔνδον ἐντεθραμμένων.
εἰ μὴ πρὸ τούτων παντελῆ τετριμμένος
φθορὰν φθάσει τις, ὥσπερ οὖν ἔγωγέ σοι·
ἤδη τὸν αἰεὶ μωρίαν ὀφλισκάνων.
ΔΑ. *Ἄκουε γοῦν μού γ'· οὐχ ὅπως ἁμαρτιῶν*
ἤ τινος ὑφέλξω γ', ἤ τι φλαυρίσω γ' ἐμῶν·
ἀλλ' ὡς ταλάντων ἀντία σταθμωμένων,
ζυγῶν τε μηδὲν θατέρου βεβρισμένου
παρὰ τὸ δίκαιον· ἢ 'ρα πρὸς τἀντίῤῥοπον
ἄλλοις δικαίοις αὐτὸ τοῦτ' ἀνηγμένον·
αὐτῶν δ' ἑκάστου πραγμάτων σκοπουμένου,

ἢ ῥᾴον οὕτω τῆς γε συγγνώμης τυχῶ,
ἢ μηδὲν ἔξω τῆς ἀπεχθείας πλέον.
καὶ πρῶτον, ὥς σοι πρῶτον ἐν κοινῷ τόδε
τῆς ἀσθενείας τῆς ἐμῆς κατηγορῶ,
καὶ παντὸς ἡμῶν τοῦ γυναικείου τρόπου·
περιεργὸν εἶναι τῶν κεκρυμμένων ἀεὶ,
κἀπραγμάτευτον ἠδ' ἀνιστορημένον
μηδὲν τὸ πρὸς σφᾶς τῶν ἀποῤῥήτων ἐᾷν·
ἔπειτα τούτων οὐδὲν ἂν στέγειν πλέον,
γλώσσης δ' ἅπασιν ἀκρατεῖς ἀφιέναι·
δισσῶν γε τούτων εἴ περ ὧδ' ἐγκλημάτων
ἅπαν γυναικῶν ἐξόμεσθ' ἡμῶν γένος·
σιγῆς μὲν ἧσσον, πίστεως δ' ἀνέγγυον·
πῶς οὐχὶ ταὐτοῦ τοῦδε τἀδίκου γραφεὶς,
δίκην πεφευγὼς, αὐτὸς οὐχ ἁλωτὸς ᾖς;
τῷ λιπαροῦντι, τοῦτο δὴ, τῷ μηδενὶ,
ταἰσχυρὰ τῶν σῶν, τἀσφαλὲς προδούς θ' ἅπαν.
πρῶτος τὸν οἶμον τῶν ἐμῶν ἐγκλημάτων
αὐτὸς σὺ γράψας, εἰς ὁδὸν βήσας μ' ἔχεις·
ἐγὼ δ' ἄρ' ἐχθροῖς, οὐ χρεὼν, προὔδωκάμην,
ἃ καὶ γυναικῶν αὐτὸς, ὢν ἐψευσμένος,
παρηγγυήσας τἀσθενεῖ φυλακτέα.
οὔκουν ἐγώ σοί γ' ἠρξάμην ἀναρσίων,
ἀλλ' αὐτὸς αὑτῷ· τἀσθενές τε τἀσθενεῖ,
τὸ σὸν πρὸς ἀμὸν, ἐς λόγους ξυμβλητέα·
ταὐτὼ δ' ὑπάρχοντ', ἢ 'ρα καὶ ταὐτοῦ γένους,
δίκαι' ἂν εἶχε τῷδ' ἐκεῖν' ἀφειμένον.
ὡς καὶ δικαστῶν αὐτὸς ἠπιωτέρων
τοῖς σοῖς τυχοίης πλημμελήμασιν πάλιν,
εἰ μηδὲν ἡμᾶς, στεῤῥὸς ὢν, τῆς ἰσχύος
πλέον τι πράξεις, ἢ σὺ προὔφάνης ἔχων.

ἔργων δὲ τούτων, τῶν ἐμοὶ τολμωμένων,
τά σοι πρὸς ἔχθρας ἐν νόῳ γεγραμμένα,
μή πως ἔρωτος αὐτὰ ταῦτ' εἰργασμένος
ζῆλός τις ὀρθῶς τοῖς σκοπουμένοισιν ᾖ·
ὁ καὶ πεφυκὼς καρδιῶν ἀνθρωπίνων,
κἀμῆς γε πρὸς σὲ, πανταχοῦ γ' ὁ κύριος.
τὸν σὸν γὰρ ἤδη γ' εὐμετάβλητον τρόπον,
ἄλλων τ' ἂν ἄλλοθ' ἡδονῶν κεχρῃμένον.
φοβουμένη τε μή τί σου λειφθεῖσ' ὑπὸ,
ὡς Θαμναθῖτις ἡ πάλαι, κἀγὼ κυρῶ·
πάσας μὲν ἤδη μηχανῶν ἀνεσκόπουν,
ζητοῦσα φίλτροις τὸν σὸν ἐντῆξαι πόθον
ἐμοὶ, βεβαίως κἀμπέδως ἀραρότα.
μόνην δὲ τούτου τὴν τύχην ἂν εὑρόμην,
εἰ λιπαροῦσα, πάντα τῶν μυστηρίων
τῶν σῶν παρεκτρίψασα, τῆς σωτηρίας
κλῃδὸς γενοίμην, τῆς βίας τε κυρία.
τί δῆτα ταύτην ἀποφέρουσ', ἐρεῖς πάλιν,
ἐχθροῖς ἔδωκας ; ἦν ἐμοὶ 'πηγγελμένον,
ὑφ' ὧν ἐπείσθην τῶνδε τὴν τόλμαν φρονεῖν,
μηδὲν καθ' αὑτοῦ δεινὸν ἐγνῶσθαι πλέον,
ἢ σῶμα τηρεῖν ἀσφαλῶς φρουρούμενον.
πρὸς σοῦ δὲ τοῦτ' ἦν· εὖ γὰρ οὖν ἠπιστάμην
ἐλεύθερον μὲν ὄντα κινδύνων ἀεὶ
μέλλοντά σ' ἔξω πεῖραν ἐξευρεῖν τινα,
ἐμοῦ κατ' οἴκους ἐμφόβου καθημένης,
κἀγωνιώσης· πολλὰ σὴν ἀπουσίαν
εὐναῖς ἀνάνδρων ἐν λεχῶν γοωμένης.
τῇδ' αὖ μετ' ἦμαρ καὶ μετ' εὐφρόνης ἀεὶ
ἔμελλον ἕξειν σ'· οὐ Παλαιστίνων πλέον,
ἐμῶν δ' ἔρωτός τ' ἐκ χερῶν ἁλόντ' ἰδεῖν·

ὅλον μὲν αὐτῆς· τῶν θύραζε δ' οὐδένα
κύβων ἀναῤῥιπτοῦντα, τῆς δ' οἰκουρίας
τῆς ἐνθάδ' ἡμῶν, μηδενὶ φθονουμένης,
τῶν σῶν τε κἀμῶν ἀνταγωνιστῇ πόθων.
καὶ ταῦτα μωρῶς ἐστὶν οἷς τε κἀπρεπῶς,
νόμων γε μέντοι τῶν ἔρωτος οὕνεκα,
ἦν ἂν δικαίως εὐλόγως τ' εἰρημένα.
καλῶν δ' ἔρωτι σωφρόνων τε πολλάκις
βλάβην ποιῆσαι ξυμβέβηκ' ἐφ' ἱμέρῳ·
οἴκτου δὲ τούτων, καί τι συγγνώμης τυχεῖν.
μὴ δῆθ' ἓν ἦθος τοῦτό τοι τρέφῃς μόνον,
ἄγναμπτος εἶναί γ', ὥσπερ ἰσχυρὸς, λίαν·
τὸν νοῦν σιδήρῳ προσφερὴς ὠπτημένῳ.
σθένει δ' ἅπαντας ὧδ' ὑπερβαλὼν, ὅμως
ὀργήν θ' ὅμοιος πᾶσι, καὶ γνώμην γενοῦ.
ΣΑ. Ὅσον τὸ δεινὸν τῆσδε τῶν τεχνῶν ἔφυ,
αὐτῆς κατειπεῖν πρῶτον ἡμαρτημένης,
ὡς καὶ καθ' ἡμῶν μᾶλλον ὑβρίσαι πλέον.
δῆλοις δὲ τούτοις, δεῦρό πως ἀφιγμένη
τῇ δυσμενείᾳ τῆς μεταγνοίας πλέον.
αὐτὸς γὰρ, ὡς φῂς, αὐτὸς εἰμ' ὁ τὴν ὁδὸν,
τὴν σὴν, ἰχνεύσας· αὐτὸς ἡγεμὼν γεγώς·
πικρόν γ' ὄνειδος, καίπερ οὐκ ἐψευσμένον.
προδοὺς δ' ἐμαυτὸν πρόσθεν ἦν, ἢ καὶ σύ με·
ἀνθ' ὧν, ἃ τῷ 'μῷ γ' εἰμι δὴ ξυγγνοὺς κακῷ,
τούτων ἔχ' αὐτῆς τῇ πονηρίᾳ χάριν.
καὶ τήνδε πείρᾳ μὴ παραιτητὸν τάχα,
σκληράν τιν', αὐτόγνωτον ἱστορουμένην,
μᾶλλον θελήσεις, οἶδ' ἐγὼ, ῥίψαι πάλιν,
φήσασ' ἀληθῶς μηδὲν ἐξῃτημένην·
ἢ καὶ τοιαύτην οὖσαν ἐς τέλος κρατεῖν.

αὐτὴ καθ' αὑτῆς τἀσθενὲς μὲν ᾐτιῶ·
ξύμφημι κἀγώ· τἀσθενὲς δ' ἄρ' ἦν τόδε,
τῶν ἀλλοφύλων τἀκρατές σου χρυσίου.
εἰ δ' οὖν τι ταύτης πρὸς παραίτησιν σθένει
τῆς ἀσθενείας· ἔστιν ἢ φονέων γέ τις,
ἢ πατραλοιῶν, ὧν τε συλῶνται θεοί·
ἢ τῶν προδόντων τοὺς φιλους, ἢ τὴν πάτραν·
ὅστις, τὸ σὸν δὴ, τοῦτο τἀσθενὲς λέγων,
δίκης μὲν ὀρθῶς οὐκ ἂν ᾖ σεσωσμένος;
ἕξει τι τούτου τἀσθενοῦς κακῶν ἅπαν·
κἀθῷος ἤδη τοῦδε τοὐνδίκου χάριν,
οὔτ' οὖν πρὸς ἀνδρῶν, οὔτε μὴ πρὸς θεῶν κριθῇς.
σὺ δ' ἐξ ἔρωτος ταῦτ' ἀναγκασθεῖσ' ἔχεις.
μή που τὸ μάργον τοῦτό σοι 'πιθυμιῶν
βέλτιον εἰπεῖν, τὸν σὸν ἐκμῆναν πόθον.
ἔρως γὰρ αἰὲν εἰς ἔρωτ' ἀποβλέπει·
τίν' οὖν σὺ τούτῳ τἀνδρὶ προστήξουσ' ἔρον,
ἔβης δι' ἔχθρας δυσκαταλλάκτου τινός;
ὅς σοι μὲν ἁλοὺς, πῶς γὰρ οὔκ; ἠπίστατο.
μάτην τάδ' αἰσχρῶν αἰσχρά σοι προβλήματα·
ἃ καὶ προβληθέντ' αἰσχρὰ δηλοῦται πλέον.

ΔΑ. *Ἐπεὶ τόδ' ἀνδρῶν θηλέων τε τἀσθενὲς,*
πρὸς τἀπολῦσαι μηδὲν ἰσχύειν θέλεις·
εἰ καὶ καθ' αὑτοῦ ταὐτὸ τοῦτο γνοὺς ἔχεις·
ἄκουσον ἤδη δεύτερ' ἐξηγουμένης,
ποίαις μὲν ἄλλαις προσβολῶν ἐχρησάμην,
ποίοις βρόχοισι· πῶς δὲ δυσμενῶν ὕπο
ἔδει κατ' ἄκρας καρτερεῖν πορθουμένην·
οἵοις τε κἀνδρῶν τοὺς πάνυ 'στηριγμένους
τὸν νοῦν ἑδρῶν ἒξ εὐλόγως πλῆξαι φρενῶν.
οὐ γὰρ τὸ χρυσοῦ γ'· αὐτὸς ὡς κατηγορεῖς·

τοῦτ' ἦν τὸ πεῖσαν· ὡς δὲ δεσποτῶν ἐμῶν
ἔν μοὶ τὰ πρῶτα καὶ τελῶν ἐτύγχανον·
λιταῖς τ', ἀπειλαῖς, προστροπαῖς τε χρωμένους
ὡς πάντας εἶχον, αὐτὸς οἶσθ', ἐγκειμένους·
κεὶ δή τι ταγοῖς, κεἴ τι θεοῖς ὀφείλεται,
τῇ μὲν πολιτῶν, τῇ δὲ θρησκευτῶν ὕπο·
τούτων μ' ἁπάντων τοῦ 'ὐσεβοῦς ὑπήγαγον·
δίκαιον εἶναι καὶ καλὸν πεπεισμένην,
τὸν κοινὸν ἡμῶν ἐχθρὸν ἐς δόλον βαλεῖν,
ὑφ' οὗ τὸ πλῆθος τῶν ἐμῶν κατέφθιτο.
αὐτός τε τούτων οὐ μακρὰν λελειμμένος,
τοῖς ὠσὶν ὥ'ρεὺς πλησίον παρεστάτει,
λέγων θεοῖσι τοῦτο πρὸς χάριν τελεῖν,
Τρίτωνί τ' αὐτῷ, μηχανῶν βρόχοις ἐμῶν
τόν σφεων ὑβριστὴν κἀχθρὸν ὄνθ' ἑαλωκότα.
τί δὴ δικαίοις προσκεκρουκυίᾳ τόσοις,
ὑπῆρξεν ἄν μοι πρὸς τόδε σθένος πλεον;
μόνος δ' ἄρ' οὗμος ἀντίος σταθεὶς ἔρως
σιγῶν ἀγῶνα τῶν λόγων ἐκαρτέρει·
εἷς τ' ὢν ἁπάντων δαρὸν ἦν ἰσόῤῥοπος.
τέλος γε μέντοι, πᾶσι μὲν δεδογμένων,
ἀεὶ δὲ πλεῖστον τοῖς σοφοῖς ὑμνουμένων,
κοινῷ προσήκειν τἀγαθῷ νικώμενα
τὰ τῶν ἑκάστοις ξυμφόρων ὑπεικέναι·
κράτος τὸ τούτων, κύριόν τ' αἰδουμένη,
πεισθεῖσα δή ποτ', οὐ 'δοκοῦν ἁμαρτάνειν,
ὀρθῶς δὲ ποιεῖν· τοῖσδέ τοι τὸ μὲν καλὸν,
τὸ δ' αὖτ' ἀληθὲς, εἰσορῶσα σύνδικον.

ΣΑ. Ἐς τοῦτο μέντοι τοῦ 'ὐσεβοῦς ἐμοὶ πάλαι
ἔμελλε τῶν σῶν πλέγματ' ἐκβῆναι στροφῶν,
πρόσωπον ὧδέ σοι κεκαλλωπισμένον.

ὁ γὰρ δι' ὄχλου δεύτερον τόδ' ἐκ σέθεν
ἔρως παρελθών· μὴ κεκιβδηλευμένος,
πάντων σ' ἂν ἄλλων ἐς λογισμὸν ἤγαγεν,
ἄλλων τε τόλμαν εἰδέναι σ' ἠνάγκασεν.
ἐγὼ πρὸ πασῶν, τῶν τε πρὸς φυλῆς ἐμοὶ,
καὶ τῶν πρὸς ἔθνους, δυσμενῶν σ' εἰλεγμένην
ἔστεργον· ὡς δ' ἔστεργον, οὐ μεμνήσομαι·
αὐτὴ γὰρ οἶσθά γ' ὡς ἄγαν στοργήν τινα.
πάντων δὲ κόλποις κειμένων ἔδωκ' ἔχειν·
οὐ κουφότητι· σοὶ δ' ἄρ' ἐξαιτουμένῃ,
ᾗ μηδὲν ἀνδρὸς τοῦδ' ἄπαρνον ἦν πέλειν·
τοῦ νῦν μετ' ἐχθρῶν τοὐπὶ σοὶ τεταγμένου.
τί δὴ τὸν ἄνδρα τοῦτον ἦσθ' ᾑρημένη,
τὸν σῆς τότ' ἐχθρὸν, νῦν τ' ἔτ', ἐμφανῶς πάτρας;
ἔδει σε τούτοις τοῖς γάμοις ἐζευγμένην,
πάτρας γε τοῖσδε, καὶ γονέων λεληθέναι·
αὐτὴν μὲν ἀνδρὸς ἐκ χερῶν ἠρτημένην,
τὸν ἄνδρα δ' αὐτοῦ· μηδέτερον ἡμῶν δ' ἔτι
χρῄζειν ἐς ἄλλον ὁντινοῦν ἀποβλέπειν,
αὐτῶν δικαίους τὸν βίον τελεῖν νόμοις.
εἰ δ' οὖν κατ' ἀνδρὸς μηχανῶν τοῦ σοῦ χάριν,
ἐδεῖτο τῆς σῆς ἡ πατρὶς τοὔργου χερός·
οὐδὲν τόδ' ἦν σού γ' ἐνδίκως κεχρημένῃ,
οὔτ' οὖν πρὸς ἐθνέων, οὔτε πρὸς φύσεως νόμων.
οὐδ' ἥδε πατρὶς ἀξία γ' ἔτ' ἦν καλεῖν,
λῃστῶν δ' ὅμιλος, κἀσεβῶν κροτούμενος,
βῆναι δι' ἔχθρας πᾶσιν ἐχθίστης τινὸς
ἕτοιμ' ἐχόντων, εἰ δίκῃ τ' ἢ μὴ δίκῃ
ἔσται ποτ' αὐτοῖς ἡ πόλις σεσωσμένη·
ἑκοντὶ ταύτης οὕνεκ' ἐκλελησμένοι,
δι' ὧν τὸ σεμνὸν ὄνομα τῆς πάτρας πρέπει·

χωρίς γε τούτων μηδενός ποτ' ἄξιον.
ἀλλ' εὐσεβείᾳ πρὸς τάδ' ἦσθ' ὑπηγμένη,
τούτοισι τῶν θεῶν τὴν χάριν διζημένη.
θεῶν δὲ πᾶς τις, μήτε τιμωρούμενος,
μήτ' ἐξελεγχθεὶς, εἴ τι μὴ 'σεβῶν ὕπο,
τὸ θεῖον αὐτὸς τῆς φύσεως ἠρνημένος·
οὐδέν τι τούτῳ τῶν προσηκόντων θεοῖς
ἤτοι πρὸς αἰδοῦς, ἢ πρὸς ἡδονῆς, μέτα.
τᾆσχος δὲ τούτων γυμνὸν ἐκ καλυμμάτων,
λόγῳ θ' ὁμοίως, χρώμασίν τ' ἐπηλύγων,
αἴσχιον ἤδη σῆς πονηρίας πρέπει.
ΔΑ. *'Αεὶ μὲν ἀνδρῶν, καὶ δίκῃ νικωμένων,*
λόγοις γυναῖκες ἥσσονες πεφύκαμεν.
ΣΑ. *Γλώσσης μὲν οἶμαι, καὶ πνοῆς λελειμμέναι·*
τοιᾷδε καὐτὸς ἐξεβροντήθην δίκῃ.
ΔΑ. *Μωρᾶς τάδ' ἦν μου· παντελῶς ἐψευσμένης,*
ὑφ' ὧν ἄγαν τῷ γ' ἐξεθερμάνθην πόθῳ.
ξυγγνώθι δ', ὤ'νερ, τοῖς πρὶν ἠπατημένοις·
καιρὸν γυναικὶ τῇδε συγχαρείς τινα,
ὧν σ' ἠδίκησε τὴν πλάνην δηλουμένῃ,
οἵαις ἀμοιβαῖς ταῖς ἔπειτ' ἰάσεται.
εἰ δ' οὖν τι τῶν πρίν ἐστ' ἀνίατον κακῶν,
μηδὲν σὺ τούτου δυσκόλως τἄλγος φέρων,
σπεύσῃς τιν' αὐτῷ τὴν λίαν τιμωρίαν.
ὄψις μὲν ἐκλέλοιπεν· ἀλλὰ τῷ βίῳ
πολλῶν ὑπάρχει χἀτέρων ἀντίῤῥοπον
ἥδυσμ', ὅτ' ἄλλοις μηδὲν αἰσθητηρίοις
τῶν χαρμάτων μέν ἐστιν οἰκείων ἀπὸν,
τῆς ἐντὸς οἴκων ἡσύχου διατριβῆς·
πάντων μὲν ἤδη τῶν τε κινδύνων ἄπο,
καὶ τῶν μεριμνῶν, ὧνπερ εἰσαεὶ τὸ φῶς

ἕξω κατ' ἦμαρ τῇ τύχῃ προκείσεται.
ἐγὼ δ' ἄνακτας τοὺς ἐμοὺς ἱκνουμένη,
ἕξω τι τούτων, οἶδα, μειλικτήριον·
εὐρῶτος εἱρκτῆς τῆσδε καὶ μύσους πρόσω,
ξὺν μοὶ κομίζειν λοιπὸν οἰκιούμενον.
ἐκεῖ δὲ μόχθων τῶν ἐμῶν τὰ φίλτατα,
διπλοῖς τ' ἔρωτος ἐξ ἐμοῦ, στοργῆς θ' ὁμοῦ
μέτροισι χρησθεὶς, τῇδε τημελούμενος
γυναικί γ' ἕξεις γηροβοσκὸν εἰσαεὶ,
πολλῶν ξὺν ἐσθλῶν χἠδέων χορηγίᾳ.
ὑφ' ὧν ὁσῆμαρ θυμὸν εὐφρανθεὶς ἔσω,
οὐδὲν ποθήσεις τῶν ἐμοὶ 'φηρημένων.
ΣΑ. Μηδὲν σὺ τούτῳ τἀνδρὶ πραγμάτων μέλοις·
οὐ γὰρ προσῆκον· χωρὶς ὄντι σου πάλαι.
μὴ γὰρ τοσοῦτον τῷ Θεῷ τ' ἐχθρὸς κυρῶ,
μηδ' ὧδ' ἄπειρος· ὥστε θηρευθεὶς ἅπαξ,
αὖθις γε τούτων τὸν πόδ' ἕξεσθαι βρόχων.
πείρᾳ γὰρ ἔγνων, δυσκόλως μὲν οὖν ὅμως,
τῶν σῶν ἁπάσας δικτύων περιπλοκὰς,
παγίδων, δόλων τε, κἀρκύων περιστάσεις.
ἤδη δὲ τῶν σῶν φαρμάκοις κυκημάτων
ἐφολκὸν οὐδέν· τῶν τε πρὶν κηλημάτων
ἅπαντα κωφὰ, καὶ κατήργηται μέλη.
τοσόνδ' ὀναίμην τῶν ὄφεως σοφισμάτων,
ᾠδαῖς τὸ λοιπὸν ὦτα σαῖς βεβυσμένος.
εἰ γάρ ποθ' ἥβῃ καὶ βίᾳ γαυρούμενος
τῇ νέᾳ, φοβητὸς, προσφιλὴς, τιμώμενος
γεγὼς ἅπασι· σοὶ μὲν ἦν ἐχθρὸς μόνῃ·
μιᾷ 'μελείας, ἐμπολῆς, ἐρημίας,
ἀνὴρ γυναικί γ' ἠξιωμένος τυχεῖν·
ποίῳ μ' ἂν ὧδε τῷ τρόπῳ κεχρημένον

ἄγοις διαίτης; τυφλὸν, εὐχερῶς πλανᾷν·
σμικρόν τι πρῶτον φροντίσαι· γέλων τότε·
τελος δὲ λήθῃ παντελῶς ἐῤῥιμμένον.
ὅσης δὲ ταύτης σῆς ὕβρεως πειρήσομαι,
γυνὶς γυναιξὶν ὧδ' ὑπήκοος· ζυγῶν
τῶν πώποτ' ὄντων μεῖζον ἀμφικείμενος.
πῶς δ' αὖθις ἐκ σοῦ γ' ἠμπολημένος κυρῶ,
ἔργων τ' ἄναξι καὶ λόγων κατασκόπου
τῶν μου κατειπεῖν· πρὸς χάριν δεδεγμένων,
γλώσσῃ τε σῆναι, χὠς ἂν ἡδονὴ φέρῃ
ἡ τῶν κλυόντων, τοῦτο, συννεφουμένης
τὸ βλέμμ' ὑπ' ὀργῆς, τοῦτο δ', ἀντίον γελᾷν.
ἐμοὶ πρὸ τῶν σῶν, τῶν πάλιν μοι προσβάτων
οὐκ ἄν ποτ' ὄντων, οὐδὲ κἀπ' οὔδων μέχρις,
δόμοις καθεῖρκται τοῖσδ' ὁμοῦ τοὐλεύθερον.
ΔΑ. Ἀφές με τῆς σῆς ἀλλὰ γοῦν ψαῦσαι χερός.
ΣΑ. Ἆ· μηδαμῶς τόδ'· εἴ τι τῆς ζωῆς μέλεις·
μή πώς τι λύσσης δεινὸν αἰφναίας μένος
μνήμην ὀρινθεὶς, ἄρθρα σου διασπάσω.
πρόσωθεν οὖσα δ', ἴσθι μοί γ' ἀφειμένη.
καὶ ταῦτ' ἐς οἴκους ἀπολαβεῖν, ὠδυρμένη
τά σοι κλοπαίως κεὐσεβῶς εἰργασμένα·
στοργῆς τε πίστεώς τ' ἆθλον εὐκλείας φέρειν,
πασῶν θ' ὑπ' ἀνδρῶν, τῶν τε μὴ, τεταγμένων.
χαίροις δ' ἂν ὧδε· τοῦ παρεσπονδημένου
τὸ κέρδος ἀνδρὸς, κἀμπόλημα χρυσίου,
σώζουσ' ἀώρας τῆσδε χηρείας ἄκος.
ΔΑ. Ὥς σοι μὲν ἔχθρας τῇδε μηδὲν ἄν ποτε
χαλᾷν δέδοκται, δῆλον· οὐδ' ἱκνουμένης
οὐδέν τι πόντου κἀνέμων κλύεις πλέον.
καίτοι δι' ὀργῆς οὔτε κύμασίν γ' ἀεὶ

βαίνει τὰ πνεύματ᾽, οὔτε γῇ τὰ κύματα.
ὁ σὸς δὲ θυμοῦ δυσκατάλλακτος μένει
χειμὼν, γαλήνῃ μηδαμοῦ κοιμώμενος.
ἐγὼ δ᾽ ἐμαυτῆς ὧδ᾽ ἀναξίως λιταῖς
πράσσουσ᾽, ἔοικα μηδὲν εὑρήσειν πλέον·
φυγῆς δὲ κἄχθους ἀντὶ συμβάσεων κυρεῖν·
ἔῤῥειν κελευσθεῖσ᾽ εἰς ὄλεθρον ἔμπαλιν,
καλόν τ᾽ ὄνειδος στιγμάτων γεγραμμένη.
τοὐντεῦθεν ἤδη παύσομαί τε σῶν μάτην
περισσὸς, ἣ 'μοῖς μεμπτὸς οὖσα πράγμασιν.
εἰ μὴ δίπρωρος, δίστομός γ᾽ ὅμως, διπλοῖς
τὰ πολλὰ φήμη 'σάλπισεν κηρύγμασιν.
πτέρων δὲ τῇ μὲν λεύκ᾽ ἔχει, τῇ δ᾽ αὖ μέλαν·
φοροῦσα σεμνῶν κληδόνων δι᾽ ἀέρος
δίναις τὸν ὄγκον, ὡς θέλει ῥιπτούμενον.
τοὔνομα μὲν ἀμὸν τοῖς περιτμήτοις τάχα,
Δάνος τ᾽, 'Ιούδου, πᾶσι τ᾽ ἀστυγείτοσιν,
εἶσιν δι᾽ ἔχθους· εὐθὺς ὠνομασμένον
ἀραῖον εἶναι· νυμφικῆς τ᾽ ἀπιστίας
κηλῖδ᾽ ἀεί ποτ᾽ ἐγκεκαυμένην ἔχειν.
Γίττῃ δὲ, Γάζῃ τ᾽, οὐδ᾽ ἀπ᾽ 'Αζώτου λέγω,
οὐδ᾽ 'Ακκαρῶνος· ὧν ἐμοὶ πλεῖστον μέλει·
μνήμης γυναικῶν εὐκλεεστάτων μετὰ,
χῶρός τις ἔσται τοῖσδέ μοι σεσωσμένος·
ἀεὶ μὲν ὕμνων ἐν πανηγυρέων χοροῖς,
ζῶσάν τε καὶ θανοῦσαν ἔξ ἴσου τυχεῖν,
μύρων δὲ τύμβῳ, κἀνθέων ἐτησίων.
ἥτις τὰ νυμφῶν ἄνδρασιν πιστώματα
οὐκ ἀγνοοῦσα, τὴν πάτρας σωτηρίαν
ᾕρητο χειρῶν ἐκ μιαιφόνων πλέον.
κλέους δὲ ταύτης, τοῦ παρ᾽ 'Εφρατῶν ὄρει,

ἦ δῆτ' ἀνοσίως μηδὲν ἦν πρὸς ἐντροπῆς
γόμφοις καθεύδων ὁ ξένος πεπαρμένος,
ἕξω τι κἄγωγ'· οὐδ' ἄρ', εἰ πάτρας τί μοι,
τῆς τ' εὐσεβείας οὕνεκ', εὖ τ' εἰργασμένων,
τιμῆς τὸ κοινὸν καὶ γερῶν ἐψήφισεν,
ἄγος τι τούτων ἄξομαι τὴν ἡδονήν.
ὅτῳ δὲ μέμψεως ἢ φθόνου τάδ' ἄξια,
ἐχέτω τά γ' αὑτοῦ· τἀμὰ δ' ὡσαύτως ἐγώ.

ΧΟ. Φρούδη, παρώσασ' ἐς τέλος κέντρον τόδε·
δηλοῦσ' ἔχιδνα κρυπτὸς οὖσα δὴ πάλαι.

ΣΑ. Ἐᾶτ' ἀφέρπειν. σκαιότητος οὕνεκα
ταύτην μ' ἐλέγξων καὶ καταπλήξων Θεὸς
ἔπεμψ'· ἐχίδνῃ τῇδε πιστεύσαντ' ἔχειν
αὑτοῦ τὸ κρυπτὸν, τὴν δ' ἐμοῦ σωτηρίαν.

ΧΟ. Δεινὸν τὸ κάλλος, κἄδικόν περ ὂν γ' ὅμως,
βλάβην τε λῦσαι, κἀξ ἐπιστροφῆς, φρενῶν
ἐς ταὐτ' ἔρωτος ἐγκαθιδρῦσθαι κράτη.
οὐδ' ἔστ' ἐρασταῖς τήνδ' ἀπώσασθαι πάλιν,
εἰ μή τι λύπης ἀντίον γ' ἐσπασμένοις,
οἴστρων τε θάλπει τῶν πάλαι νενυγμένοις.

ΣΑ. Ἔρως μὲν αὐτῷ περιπεσὼν ἡδύνεται·
γάμος δ' ἄπιστος τὸν βίον σφήλας ἔχει.

ΧΟ. Τί δὴ τοὖθ', ὃ φρενὸς γυναιξὶν στ. α'.
ἢ φίλτρον ἔφυ πόθου τὸ πρῶτον,
ἢ καὶ τῶν μαλακῶν ζυγῶν
τῶν ἔρωτος ὑπήκοον
πρὸς τέλος νιν ἑκοῦσαν ἕξει;
οὐ γάρ τοι τόδε κάλλους
τοὔργον, οὐδ' ἀρετᾶς πέφανται·
οὐκ ἰσχύος, οὐ κράτους,
οὐ διανοίας, οὐδ' οὖν σοφίας·

καλῶν τ᾽ ἄκρων θ᾽ ἁπάντων.
καὶ δὴ τοῦ τόδ᾽ ἂν ἆθλον εἴη,
δύσκριτ᾽ ἐμοὶ νοουμένῳ·
χαλεπὸν μὲν ἔχειν, χαλεπὸν δὲ λέγειν,
καὶ παντελῶς ἀμήχανον,
μήτε νέας, μήτ᾽ ἐς ἕναν ἐρευνᾷν·
ὡς ἓν τῶν ποτε παιδιᾶς χάριν σοι,
Σάμψων, ἐν σκολιοῖς τεθέντων.
Τί γὰρ θέλκτρον ἐνὸν τοσοῦτο *ἀντ. α΄.*
τῶνδ᾽ εἴ τ᾽ ἄρ᾽ ἅπασιν, εἴ θ᾽ ἑκάστῳ,
εἰ τὸν μὲν παρανύμφιον,
μηδὲν ὡς παρὰ σοὶ βαλεῖν
ὄνθ᾽, αὑτᾶς πόσιν οὐδὲν ἧσσον
νύμφα γ᾽ ἁ Θαμναθῖτις
τῶν σῶν δεύτερον εἵλετ᾽ εὐνῶν ;
εἰ ῥᾳδιά θ᾽ ὧδέ σοι
ζυγὰ νυμφείων δισσαῖς ἐλύθη ;
πανυστάτοις δὲ τούτοις
τοῦ σοῦ κρατὸς ἀπιστίαισιν
πᾶς ὁ θερισμὸς οἴχεται ;
ἐπὶ θηλυτέραις τόσον ἐξεχύθη,
τοὔξωθεν ἐκπονουμέναις,
τᾶς χάριτος, τᾶς ἐς ἔναντα, μορφαῖς,
ὡς καὶ τῶν φρενόθεν τὰ πάντα δώρων
αὐταῖς ἡμιτελῆ γενέσθαι.
Τοίγαρ τοῦ ξυνετοῦ, *στ. β΄.*
τοῦ θ᾽ ὑψηλόφρονος, φλαῦρον ἔχουσαι,
τῶν τ᾽ ἀγαθῶν, τῶν τε κακῶν
οὐδὲν ὃ μὴ τᾶς διανοίας
ψευσθεῖσαι δοκιμάζουσ᾽·
αἰεὶ πρὸς τὰ φυγᾶς ἄξια μᾶλλον

τοῖς σώφροσιν, τῶν προκρίσεως,
τὸ πρὸς σφᾶς ῥέπειν θέλουσαι.
ἆρ' οὖν τῆς φιλαυτίας σφίσιν φρενῶν
περισσὸν εἴσω τοσόνδ' ὑπάρχει·
τοῦ βεβαίου δ' ὧδ' ὀλιγοστὸν
τὸ παρὸν, κἀπιπολαῖον·
τῶν δὴ 'στερξέ τις ἢ μηδὲν ὅλως,
ἢ μηδὲν πλέον ὥρας;
Τοῦτ' οὖν, ὅττι ποτ' ἐστ', ἀντ. β'.
ἐκ τῶν παρθενικῶν τοῖς ἀγαθοῖσιν
τοῖς τε σοφοῖς θὴδὺ πέπλων
ἐκγέλασαν· τοῦτ' ἄκακόν θ' ὧδ',
ἠδ' αἰδῆμον ὁρᾶσθαι·
τοῦ πρᾳοῦς θ' ἁπαλοῦ τ' οὐδὲν ἄμοιρον·
ζευχθέν γ' ἅπαξ, ταὐτὸ πάλιν
βέβακεν τόδε· σκόλοψ γε-
γὼς, ὅπλων θ' ὕπερθε καὶ προβλημάτων,
κακὸν πρόσεδρον, καλῶν ἐρασταῖς
ξὺν θορύβῳ τ' ἀντικεκρουκὸς,
χαρίτων θ' ἥσσονας αἰσχρῶς
εἰς ἄταν παράγειν, κἀποπλανᾷν,
οὗ πάντως τις ὀλεῖται.
Εὐδαίμονες, οἷσι μιᾶς στ. γ'.
τῶν ἀγαθῶν λάχος γένηται·
εἰ καὶ σπάνιον μὲν εὑρεῖν,
παύρων τε θοὔρμαιον τόδ' ᾖ·
τῶν τῇ φρενὶ πρὸς δόμων
κοινὸν τὸ δεὸν πονεῖν
τοῖς συζύγοις θελουσῶν.
εὐτυχεῖ τὰ τῶνδέ γ' οἴκων·
κεἰς ὁδοὺς λείας ἔβα.

καίτοι γ' ἀρετά γ' ἁπάσας
ἁ διεκπεσοῦσ' ἀνάγκας,
αὐτᾶς κυρία παντὸς τῷ σθένει
πειρασμοῦ γεγαυῖα·
τᾶσδ' ὁ στέφανος πέλει,
καὶ λαμπρότατον κλέος,
τοῖς ἄνω γε βραβευταῖς.
Οὐκοῦν ὁ Θεὸς καθόλου *ἀντ. γ΄.*
τοῦτο νόμοις ἀεί ποθ' αὐτοῦ
ὡρισμένον ἐξέθηκεν·
θηλέων ἁπάντων, ἀρσένων
εἶναι τὸ κράτος τὸ πᾶν·
ἀνδρῶν θ' ὑποχειρίους
ἕξειν γυναῖκας αἰεὶ,
καὶ δίκαια, κἄδικ' αὖθις·
μηδὲ τᾶς γ' αὐτοῦ δίκας
τὸν ἄνδρα θέλειν ὑπεῖξαι,
μηδὲ κἀκαρὲς, σκυθρωπαῖς
σαινούσαις θ' ὁμοίως, ταῖς θήλεσιν.
καὶ δὴ 'σφαλμένος ὧδ' ἂν
ἥκιστα βίου τύχῃ·
μήτ' οὖν ὑβρίσαι 'τι, μήτ'
ἐκπλῆξαί γε γυναιξίν.

Μή τι ποῖ μεθιστέ' ἡμᾶς ἐκποδών· χειμῶν' ὁρῶ.

ΣΑ. *Πρηστὴρ γὰρ ἤδη κεὐδίας ἐξεῤῥάγη.*

ΧΟ. *Ἄλλο μέντοι, χἄτερον τόδ', ἐγγύθεν χειμάζεται.*

ΣΑ. *Τῷδ' ἀνδρὶ μηδὲν ἔκπαλαι κᾳνίγμασιν.*

ΧΟ. *Ἦ μὴν ἐπῳδῶν μήτιν' εἰς ἴυγγ' ἔτι*
βλέπειν, λόγων τε ξὺν δόλῳ μειλίγματα.
γλωσσῶν τις ὧδε τῶν τεθηγμένων πέλας·
γίγας ὁ Γίττης, τῇ φορᾷ 'γνωρισμένος,

Ἁράφας, ὑπόδρα χὐπερήφανον δ᾽ ὁρῶν·
οὐδ᾽ ἧσσον ὄγκῳ γαυρὸς ὤν, κἀναστάσει.
τί δὴ φρονῶν ὅδ᾽, ἢ τύχῃ ποίᾳ πάρα,
πλέον τι μᾶλλον εἰκάσας ἀμηχανῶ,
χὤτ᾽ οὖν τὸ ῥεῦμα τῆς τρυφῆς ἀνιστόρουν,
τῆς Δαλιδείας, δεῦρό πως σοβούμενον.
σπονδῶν μὲν ἡ ᾽σθὴς, τοὔμμα δ᾽ εἰς Ἄρη βλέπει.
ΣΑ. Σπονδῶν τε, κἌρεως, τῷδ᾽ ἂν ἐξ ἴσου παρῇ.
ΧΟ. Ἐγγὺς τὰ τούτου, τῶν πεφόρτισται μαθεῖν.

ΑΡΑΦΑΣ.

Ἡμῖν τὰ τῆς σῆς ἦν ἂν ἀσμένοις τύχης
ἀγένητα, Σαμψών· οὐ μὲν εὐνοίας χάριν,
οὐδ᾽ ὡς ξυναλγεῖν τοῖσδέ σοι ᾽μιλλωμένοις.
Γιτταῖος Ἁράφας, τοῦ γένους μὲν οὕνεκα
Ὤγου τ᾽ Ἄνακτός τ᾽ οὐδὲν ἂν λελειμμένος,
οὐδ᾽ ὧν Χεβρῶνος ἐντός ἐστ᾽ αὐτοχθόνων·
πάρειμ᾽ ἐγώ σοι· τοῦ σὺ κἄτ᾽ ἄϊδρις ὢν,
λαθών τις ἦσθ᾽ ἂν αὐτὸς, οὐδ᾽ ἐγνωσμένος.
πολλῶν μὲν ἤδη καὶ περίσσ᾽ εἰργασμένων
ἀλκῆς τε τῆς σῆς, ἰσχύος τ᾽ ἀκήκοα,
ἐμοίγ᾽ ἀπίστων· τοὖθ᾽ ὅμως ἠλγημένῳ,
ὅθ᾽ οὕνεκ᾽ αὐτὸς μηδαμοῦ τότ᾽ ἦν πέλας,
ἐν ᾧ τὰ τῶνδε θαυμάτων ἐγίγνετο·
ὅπου γε πεῖραν ἦν ἂν ἀλλήλων λαβεῖν,
σταδίων ἀγώνων, ἢ παρεμβολῶν ἔπι.
καὶ νῦν τὸν ἦχον, αὐτὸς αὐτόπτης, μαθεῖν
κηρυγμάτων τῶνδ᾽, εἴ τι μὴ μάτην, θέλω.
ἄρθρων τε τούτων αὐθέκαστ᾽ ἐξιστορεῖν,
τί μοι τοσαύτης κληδόνος γ᾽ ἀντάξια.
ΣΑ. Μὴ δῆτ᾽ ἀθρήσας, ἀλλὰ καὶ γευσθεὶς μάθοις.
ΑΡ. Παπαί· τὰ τῶν σῶν φροιμίων ὥς μοι πάρα.

οὐκοῦν μυλώνων, καὶ ξύλων ἂν οὕνεκα,
πάλαι τιθασσὸς, χειρὸς ἦσθ' εἰθισμένος.
εἴθ' ὤφελ' ἡμᾶς ἀντίον καθεστάναι,
ὅπου τὰ χειρὸς κλεινὰ ταῦτ' ἐπράσσετο
τῆς σῆς, ὀνείᾳ τῇ γνάθῳ πεφραγμένης.
ὅπλων τάχ' ἄλλων οὐκ ἂν ἔφθανές γ' ἐρῶν,
ἢ ῥιπτὸς αὐτὸς πτῶμ' ὄνῳ ξυγκείμενος.
οὕτω δ' ἂν ἀλκῆς τῇ Παλαιστίνῃ πάλιν,
ὥσπερ δίκαιον, ἦν ἀδήριτον κράτος,
πάντων μὲν ἐχθρῶν τῶν περιτμήτων κατὰ,
καὶ σοῦ δ', ἀρίστου τοῖσιν ἠριθμημένου.
καὶ ταῦτ' ἀγώνων ἀνδρὶ τῷδ' εὑρήματα,
ἃ μοῦνος εὖ γ' ἴσθ' ἦν ἂν ἐκ μούνου λαχὼν,
ἀπόλωλε τοῖς σοῖς, κᾤχεται ξὺν ὄμμασιν.
ΣΑ. *Ἔα τὰ μέλλονθ'· ὧν δ' ἔρεξας ἂν τότε,*
δράσον τι τούτων, χειρὸς ὧδ' ὑπεγγύων.
ΑΡ. *Καλῶς ἂν ἀνδρὶ ξυσταθεὶς ἀνομμάτῳ·*
ἄλλως τε καὶ σῇ χριμπτὸς ὢν ἀλουσίᾳ.
ΣΑ. *Τοιοῖσδε χριμπτὸς, οἷά μοι χαρίζεται*
τῶν σῶν ἀνάκτων λῆμα γενναῖον τόδε·
ἁλόντι τ' αἰσχροῖς, αἰσχρὰ δ' αὖτ' ὀλωλότι.
οἳ καὶ κατ' ἀνδρῶν οὐδὲ πανδημεί γ' ἑνὸς,
καὶ ταῦτ' ἀνόπλου, ξυστραφέντες ἀντίον
ἐλθεῖν ἐθάρσουν· οὐδ' ἄρ' ἐγκαθήμενοι
μυχοῖσί τ' οἴκων, παστάδων θ' ὑπόστεγοι,
οὐδ' ὣς ἔτλη τις ὁμόσε μοι χωρεῖν μάχης,
πρὶν ἢ γυναῖκας, τοὺς γάμους διεφθορὼς,
ἔπεισε χρυσοῦ νυμφίους ἀπεμπολᾶν.
τοίγαρ τις ἡμῖν τῶνδε παυσάσθω τριβῶν·
στενῶν τι δ' ἔστω, καὶ περιγράπτων δοθὲν,
ἔνθ' οὐδὲν ὄψει πρὸς φυγὴν ἕξεις πλέον.
ἐκεῖ δὲ λαμπρὸς αὐτὸς ἐγκαθίστασο,

θωρᾶκα, κνημῖδάς τε, καὶ κράνος λαβὼν,
μηρῶν τε, νηδύος τε, καὶ βραχιόνων,
χειρῶν θ', ἅπασι φρακτὸς ὢν προβλήμασι·
προσθείς τε τοὔγχος μεσσάκλων ἀντάξιον,
τὰς τῆς βοείας ἑπτά τ' ἀσπίδος πτυχάς.
ἐγὼ δὲ βάκτρον τῆς δρυὸς μόνον κρατῶν,
τοσόνδε χαλκῷ πάταγον ἀμφὶ σῷ τενῶ·
τῷ μηδὲν ὄντι κρᾶτά σου δαρὸν στέγειν·
ὥσθ' ἕως ἔτ' ἐμπνοῦς, κεἰ λιποψυχῶν, κυρεῖς,
Γίτταν μὲν εὔξῃ πολλάκις σεσωσμένος,
ἅ σοί γε Σαμψὼν πείσεται κομπεῖν πάλιν·
οὐ μὴ δὲ Γίτταν ὄμμασιν βλέψεις ποτέ.
ΑΡ. Καὶ μὴν τὰ κλεινῶν οὐκ ἂν ὧδ' ἡρωϊκῶν
ἔτλης ἀγώνων φλαυρίσαι προβλήματα,
τὰ κόσμον ἀνδρῶν καὶ σκέπην βοηθόων·
εἰ μή τι δεινῶν του μάγων σοφίσμασιν,
ἰσχύν τιν' εἶχες ἀμφὶ σοὶ βεβλημένην·
ἣν καὶ γεγῶτι ψεύδεσίν γ' ἀπ' οὐρανοῦ
δῶρόν ποτ' αὐχεῖς βοστρύχων ἠρτημένον·
ὅπου μὲν ἥκιστ' ἐστ' ἐνοικῆσαι σθένος,
οὐδ' εἰ τὰ πασῶν αὐθέκαστα τῶν τριχῶν
χαιτώματ' ἦν ἂν, οἷα καὶ τραχύνεται
ῥάχιν τὸ δεινὸν ἀγρίων κάπρων μένος·
ἢ χοῖς ἐχίνων ἀμφιπέφρικεν δέμας.
ΣΑ. Τῶν σῶν τιν' ᾠδῶν, τῶν ἀπαυδήτων τεχνῶν,
οὐκ εἶδον, οὐκ ἔχρῃζον· ἐς τὸν ζῶνθ' ἕνα
Θεὸν πεποιθὼς, τόν γ' ἐμοὶ γεννήμασιν
αὐτὸν τὸ δῶρον τῆς βίας διηνεκὲς
ἄρθρων τε, νεύρων, καὶ μελῶν ἁπανταχοῦ,
οὐχ ἧσσον ἤ σοί γ', ἐπιχορηγήσαντ' ἔχειν·
ἕως ἀκραιφνῶν τῶν πλόκων τὰ ῥύσια,

πιστώμαθ᾽ ὅρκων τῶν ἐμῶν, ἐσωζόμην.
καὶ τῶνδ᾽ ἔλεγχον, εἴ τί σοι Τρίτων σέβας,
τούτου μὲν ἐντὸς τῶν νεὼν κατασταθεὶς,
ὡς ἂν μάλιστα ξὺν λιταῖς ἱκνούμενος,
αἴτου τιν᾽ ἀλκὴν καὶ βοήθειαν λαβεῖν·
τοὔργον τόδ᾽ εἰπὼν, εἴ τι τοῦ καλοῦ μελει,
αὐτῷ προσήκειν, δηλάδη διασκεδᾷν
τὰ τῶνδ᾽ ἐπῳδῶν καὶ καταργῆσαι μέλη·
ἃ ᾽γὼ τὸ δεινὸν Ἰσραῆλος εὔχομαι
τοῦ Θεοῦ γενέσθαι· πρός γε ταῦθ᾽ ἕτοιμος ὢν
Τρίτωνι χειρῶν εἰς ἔλεγχον ἰέναι·
πρόμον τὸν αὐτοῦ, πᾶν ὑπασπιστὴν λαβεῖν
τὸ θεῖον αὐτοῦ, πρὸς μάχην καλούμενος.
κλάων δ᾽ ἀθρήσει, μᾶλλον οὖν γεγεύσεται
πείρᾳ τάχ᾽ οὗτος, ὁπότερόν γε τοῖν θεοῖν,
τὸ σὸν μὲν ἢ ᾽μὸν, κρεῖσσόν ἐστι δὴ σέβας.
ΑΡ. Μηδὲν σὺ τούτῳ τῷ Θεῷ λίαν φρόνει,
ὅστις ποτ᾽ ἐστίν· τῷδ᾽ ἀφρόντιστος πάλαι,
ξένος τις, ἔξω τοῦ λεὼ φυγὰς, γεγώς.
αὐτὸς δ᾽ ἄρ᾽ ἐχθροῖς χείριόν σ᾽ ὑπήγαγεν·
δισσῶν τε φέγγος ὀμμάτων σκοτούμενον
πεδῶν κατηξίωσε, δεσμίων μέτα
μύλωνος εἴσω, τῆς ἀναγκαίας τύχης
ὄνων τε δούλων τ᾽, ὄντα σύνδουλον, λαχεῖν·
κεἰ μή τι τούτων, οὐδενός ποτ᾽ ἄξιον,
αὐτοῖσι τῶν σῶν γαυριάμασιν πλόκων.
καθ᾽ ὧν μετ᾽ ἀλκῆς ἐγχέων θ᾽ ὡπλισμένῳ,
καλόν γ᾽ ὄνειδος ἦν ἂν αἰχμητῶν τινι·
τῶν μᾶλλον ὄντων πρὸς ξυρῶν κουραῖς δαμᾷν.
ΣΑ. Καὶ τῶνδ᾽ ὀνειδῶν, ὡς μὲν ἐκ σέθεν κλυεῖν,
δίκαιός εἰμι, κἄθ᾽ ὑπερτέρων, τυχεῖν·

αὐτός τε τούτοις πᾶσι συγγινώσκομαι
ἔνοχος ὑπάρχων· αἴτιος δ' ὅμως, Θεοῦ
ἐλπίς τις οὔτοι πάμπαν ἐστὶν ἀμπλακεῖν·
οὗ μήτε τὦτα, μήτ' ἄρ' οὐφθαλμός ποτε
εὐχαῖς κεκλῇσθαι καὶ μεταγνοίᾳ φιλεῖ.
καὶ τοῖς πεποιθὼς, τῶν θεῶν πείρᾳ μαθεῖν,
μόνον μόνῳ μοι, διὰ μάχης σ' αὖθις καλῶ,
τίς ἐστ' ἀληθής· εἴ θ' ὅ σοι τιμώμενος,
εἴ τ' Ἰσραῆλος κἀμὸν ἐν κοινῷ σέβας.
ΑΡ. Καλόν τιν' ἤδη τόνδε τἂν ὁ Θεὸς πρόμον
δόξης ἑαυτῷ γ' ἦν ὁ σὸς δεδεγμένος·
τὸν ὄντα λῃστὴν, καὶ φονῆ, κἀποστάτην.
ΣΑ. Τὸν ποῖον, ὦ σὺ τῇ δίκῃ γλῶσσαν γίγας;
ΑΡ. Οὔκουν ἄναξι λαός ἐσθ' ὑπήκοος
ὁ σὸς μὲν ἡμῶν; τοῦδέ γ' αὖ ξυνειδότες,
δεσμοῖσιν ἤδη δραπέτην χειρούμενοι,
ἄρχοντες οἱ σοὶ δεσπόταις σ' ἀνήγαγον;
ὃς καὶ φόνοισιν ἐμφανῶς ἐνεσχέθης,
ἄνδρας τριάκοντ' Ἀσκαλωνίτας κτανὼν,
οἷς αὐτὸς ἦσθα μηδὲν ἠδικημένος·
καὶ λωποδύσας ὡς κλοπεὺς τὰ πτώματα.
ἀνθ' ὧν, σε μοῦνον οἱ παρεσπονδημένοι
ζητοῦντες εὑρεῖν, γῆν μὲν ἐστρατευκότες,
βίας τιν' ἄλλον μηδὲν ἢ βλάβης ἔδρων.
ΣΑ. Καίτοι παρ' ὑμῶν τὴν γυναῖκ' εἰλεγμένος,
οὐδέν τι τοῦτ' ἦν ἐχθρὸς ὣς εἰργασμένος·
οὐδ' αὖ παρ' ὑμῖν τοὺς γάμους δαίσας πάλιν.
τέχναισι δ' ὑμῶν, καὶ πανουργίαις τέλη
ἄνδρας τριάκοντ' ἀμφὶ μοὶ κατασκόπους
γάμων ἔταξαν ὥστε συνθοίνους καλεῖν.
ὑφ' ὧν ἀπειλαῖς ὡς ἀνηλεῶς θανεῖν,

ἐκ μοῦ τὸ κρυπτὸν ἡ νέα νύμφη χερῶν
θλίψασ᾽, ἐκείνοις αὖθις αὖ παρηγγύα,
τὰ σκολιὰ λῦσαι τῶν ἐμῶν αἰνιγμάτων.
οὓς καὶ πρὸς ἔχθραν πάνθ᾽ ὁρῶν τετραμμένους,
πρὸς ταὔτ᾽ ἐτρέφθην καὐτὸς, ἐκ σκυλευμάτων
τῶν σφῶν ἀμοιβὴν δυσμενῶν διζήμενος.
οὑμὸς δ᾽ ἄρ᾽ ὑμῖν λεὼς ὑπήκουεν πάλαι·
βίᾳ γε μέντοι, καὶ δίκῃ τοῦ κρείσσονος·
ἣν καὶ βίᾳ τις, εἰ τύχοι, τῶν ἡσσόνων
ἀθῷός ἐστιν αὖθις ἐκκρούσας πάλιν.
ἐγὼ δ᾽ ἄρ᾽ ἴδιος εἰς ἀπόστασιν βλέπων,
ἦν αὐτόβουλος· ὃν παρασπόνδων χάριν
τὸ κοινὸν ἡμῶν δεσπόταις ἐχείρισεν.
τὸ δ᾽ αὐτόβουλον τοῦτο ταὐτεξούσιον
ἦν, οὗ τὸ θεῖον ἐξανέστησεν πάτρας
σωτῆρ᾽ ἱκέσθαι, τῇ βίᾳ φερέγγυον.
εἰ δ᾽ αὖ τὰ δούλων ἐφρόνουν οὗτοι πλέον,
ἐλευθερωτὴν ὄντα μ᾽ οὐ δεδεγμένοι,
ἐχθροῖς δὲ δῶρον ἔμπαλιν προηκότες·
τοσῷδε μᾶλλον μέχρι καὶ τοῦ νῦν δίκῃ,
λόφοισι ταὐτά γ᾽ ἀμφὶ δὴ κεῖνται ζυγά.
ἐγὼ δὲ τοὐμὸν οὐρανῷ τεταγμένον
ἔπρασσον αὐτὸς, κἀξέπραξ᾽ ἂν ἐς τέλος,
εἰ μὴ τὸ πλημμέλημα τῆς ἁμαρτίας
ἔσχεν πρὸ καιροῦ, τῆσδε τῆς θρυλλουμένης,
βίᾳ πρὸς ὑμῶν μηδενὸς κατάσχετος.
ταῦτ᾽ οὖν ἐλεγχθεὶς, τῷδέ τις παρελθέτω
τυφλῷ ᾽πακούσας· ὃς μὲν ἐς σεμνῶν ἔτι
ἔργον, περισσῶν τ᾽, ἀσθενεῖ λελειμμένος·
τρίτον μόνος δὲ πρὸς μόνον μαχούμενος
πάρεστι, φλαύρων φλαῦρος ἐργάτης τις ὤν.

ΑΡ. Ἦ μὴν κακοῦργος, καὶ νόμοισι τοὔσχατον
δίκης ὀφλήσας, δμῳσί τ' ἐγγεγραμμένος,
καλῶς ἂν αἰχμῆς ἀνταγωνιστὴς κυροῖς.
ΣΑ. Ταῦτ' οὖν, ἀλαζὼν, ὀμμάτων ἐφ' ἡδονῇ
βίας θεωρὸς καὶ κριτὴς, τῆς μου, παρεῖ;
ταύτην τις ἆσσον, μὴ 'ξ ἐπιπολῆς οὖν, μάθοι·
εἰ μὴ πρὶν ἀμῆς ἱστορηθείη χερός.
ΑΡ. Ὦ θεοί γ', ὀνειδῶν τῶνδ' ἔγωγ' ἐπήκοος
γεγὼς, φόνοισιν οὔ τι μὴ 'νταμείψομαι;
ΣΑ. Τί μὴ 'νταμείψῃ; σῆς ἀνίατον χερὸς
δέδοικ' ἔγωγε μηδέν· ἐγγίσας μόνον,
πύκτην λυθέντα μ', εἰ πόδας δεθέντ', ἴδοις.
ΑΡ. Ἀλλ' ἄσσα ταύτης σωφρονίσμαθ' ὕβρεως.
ΣΑ. Ἔῤῥοις, ἀνάνδρου γ' ὄγκος ὢν ἀψυχίας·
μὴ κἀν πέδαισιν ἐνθορών σοι, τῇ μιᾷ
πυγμῶν ἅπασαν καββάλω σ' ἀνάστασιν·
ἢ καὶ διάρας, αὖθις αὖ προσουδίσω,
πλευρῶν τε κρατός τ' ἀθλίαν μεμαγμένον.
ΑΡ. Ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἀστάρτην ὕβρεως
ἄκλαυστα δαρὸν τῆσδε μὴ γενήσεται.
ΧΟ. Φροῦδον τὸ τύφου τοῦ γιγαντείου τόδε·
τὸ βλέμμ' ὁμοίως, βημάτων θ' ὑφειμένον·
δηλοῖ δ' ὑπ' ὀργῆς ἄγριά που κινούμενον.
ΣΑ. Ἐμοὶ μὲν οὐδὲν τοῦδε τῆς ὀργῆς μέλει·
οὐδ' οὖν γιγάντων, ὧν ἔφυ τέκνων πατὴρ,
τῶν πέντε, τῶν καὶ πρῶτα Γωλίας ἔχει.
ΧΟ. Καὶ μὴν ἄναξιν οὐκ ἂν ἐς μακρὰν παρὼν,
βουλῶν τιν' αὐτοῖς δυσμενῶν ἡγήσεται·
κακῶν τι δή σοι μηχανοῤῥαφῶν πλέον.
ΣΑ. Λόγον γε μέντοι τοῦδε προσφέρων τινὰ,
οὐ μὴ πρόκλησιν τῆς μάχης ἀπαγγέλῃ·

αὐτὸς καθ' αὑτοῦ δειλίας κατήγορος·
μή τίς σφ' ἐλέγξῃ, τοῦτο δὴ πεπυσμένος,
διότι προκληθεὶς, αὐτὸς οὐχ ὑπήκοος
γένοιτο, φανερῶς τοῦδ' ὑπεκκλαπεὶς πόδα.
πλέον δὲ τούτων τοὐπίσαγμα τῶν κακῶν
οὔτ' οὖν σφιν εὑρεῖν, οὔτ' ἐμοὶ φέρειν πάρα·
εἰ τῶνδε μόχθων, πλειόνων μὲν ἀνθ', ἑνὸς,
ἔσται τι κέρδος, τῆς ἐμῆς μισθὸς τροφῆς,
αὐτοῖς τε πολλῶν ἄξιον τοῖς κυρίοις.
ἄλλως τε καὶ μὴν ὅστις ᾖ τῶν δυσμενῶν
τάχισθ' ὁ πέρσας, οὗτός ἐσθ' ὁ φιλτατος·
τά θ' οἷ κάκιστα, ταῦτ' ἐμοὶ τὰ λῷστ' ἔφυ.
ὅμως δὲ κἀν τοῖσδ', ὡς ἐμοίγ' ἂν ἐς χάριν
δράσαντας οὐδὲν, τοῦδέ τοι πειρώμενον
ἐλπίς τιν' αὐτῷ τῷδε κείσεσθαι μόρῳ.

ΧΟ. Ἦ μὴν τοῦτο κάλον νοεῖν, *στ. α'.*
καὶ τοῖς πνεύμασι τῶν δικαίων,
τοῖς ζυγῶν χρονίων ὑπ' ἄχθους
ἀπειρηκόσι δουλίων,
πολλᾶς τᾶς ἀναπαύσεως,
καὶ παραμυθίας γέμει·
ὅθ' ἁ δαιμονία χάρις
τοῖς σωτῆρσι παρεγγυᾷ
τὰν νικάφορον ἀλκάν·
ὑφ' ἇς τῶν δυνατῶν τε γᾶς,
καὶ τῶν ἀδίκων τὸ λήματος
τοῦ θηριώδους τόδ' ἅπαν,
καὶ θορυβητικοῦ μένος
ξυνεσταλμένον ἕξει·
τὸ τῶν βίας τυραννίδος θ'
ἕκατι συστραφέντων,

τόλμας τε, τοῦ δραστηρίου τ',
οὐδὲν ἐνδεῶς ἐχόντων·
οὐδὲ μαινομένᾳ ξὺν ὁρμᾷ
κατὰ μὲν τῶν ἀγαθῶν,
καὶ τῶν τοῦ καλοῦ γ' ἐραστῶν,
ἔχειν ἔριν αἰεί.
Καὶ δὴ μηδὲν ὅπλων λαβὼν, ἀντ. α΄.
ἄλλ' ἢ τᾶς χάριτος τὸ θείας
λήματος τόδ' ἐνεργὲς οὕτω
χορηγῆμα περίφρονος·
τό θ' ἡρωϊκὸν ἐν νόῳ
τοῦ μεγαλόφρονος λιτόν·
ξυμβαλεῖ τις ἐναντίοις,
πάσας τὰς πολέμου παρα-
σκευὰς, πάντα δ' ἄρ' ἀλκᾶς
ἐν μέρει σφίσι τᾶς πάλαι γ'
εἰργασμέν', ὑπερδραμὼν μόνος·
τῶν ὀργάνων τῶν πολέμου,
τᾶς τε χορηγίας, ἄγων
παρ' οὐδὲν, καὶ ἀχρεῖα
κτίσας ἅπαντα, καὶ φθάσας,
πτερωτὸν ἐς πονηροὺς
τᾶς ἀστραπᾶς πίπτει τάχος,
τῶν τεταγμένων ὑπουργός·
τοῖσδ' ἄρ' ὧδ' ἀδόκητ' ἐπιστὰν,
προβολῶν ἠδ' ἐχυρῶν
θάμβους ἐκπλαγέντας ἤδη
τἀμήχανον ἕξει.
Ὅμως μέντοι, τὸ πολλάκις γ' ἀγώ- ἐπῳδ.
νισμα τοῦτο, τοῦτ' ἄεθλον ἐκ Θεοῦ
τᾶς ἀνοχᾶς τοῖς ἁγίοις πρόκειται,

καὶ τοῦ καρτεροῦ οἷον·
προστάταις σφίσιν αὐτοῖς
τᾶς ἐλευθερίας γενέσθαι,
οἰκείᾳ δυνάμει κράτος
πασῶν τε τυραννίδος,
καὶ τῶν τύχας, ἀπειλῶν
καλλίνικον ἔχουσιν αἰεί.
Σαμψὼν, σοὶ δὲ τῶνδ' ὁποτέρων θέλῃς
πάρεστι κλῆρος, βίας θ' ἕκατι,
καὶ τᾶς οὐ κατ' ἄνδρας ἀρετᾶς ὑπερμέτρου·
εἴ τι μή σε φάους ὅμως
ὀμμάτων τ' ἀχηνία,
γράψασ' ἕνα τῶνδ' ἔχει,
οὓς ὑπομονᾶς στεφανῶσαι.
Σήμερον εἰ καὶ τόδε γ' εἰδώλων
τὸ πανηγυρικῆς ἀργὸν ἑορτῆς,
τοὔμπαλιν ἤδη σοί γε κατέστη·
φρένα δεινοτέροις βασανιζομένῳ
τῶν ἡμερινῶν χειρὸς ἀναγκῶν·
ἔτι τῶν αὐτῶν λοιπόν τι πόνων.
ὅδε γὰρ νέος αὖ τῶν ἀλλοκότων
ἢ σκηπτροφόρων ἢ ῥαβδούχων·
σπουδῇ δ' ἀνύων οὔ τι παρ' οὐδὲν
τὸ παρὸν δῆλος χρῆμα νομίζων.
ὃν μὲν ἄρ' ἡ 'σθὴς τῶν δημοσίων
τίνα κηρύκων ὄντ' ἀγορεύει·
καὶ πέλας ἤδη, τῆς ἀγγελίας
εὔτροχον ἴσθ' ὅτι
καὐτὸν δὲ βραχὺν λόγον ἕξει.

ΚΗΡΥΞ.

ΚΗ. Ἄνδρες, τὸν ἡμῶν δέσμιον ποῦ μοι κυρεῖ,

Σαμψῶν᾽ ἐρωτῶ.
ΧΟ. Τῇδέ σοι καθήμενος
πάρεστιν αὐτὸς, ταῖς πέδαισι γνωρίσαι.
ΚΗ. Οἵ γοῦν ἄνακτες ταῦτά σοι λέγουσ᾽· Ὅτι
Τρίτωνα, Σαμψὼν, οἶσθ᾽ ὅπως τὴν σήμερον
χορῶν, ἀγώνων, θυμάτων θ᾽ ἅπαν γένος
εἴληχε τιμῆς, καὶ θριαμβεύει μέγα·
καὶ σὴν γὰρ ἰσχὺν οὐ κατ᾽ ἀνθρώπων μέτρον
ἔγνωσαν οὖσαν· τῆσδέ τοι πανηγυρέων
καὶ τῶν ἑορτῶν, τῶν ἐνεστωσῶν, χάριν,
πεῖράν τιν᾽ ὄψεως ἀντίον θέλουσ᾽ ἔχειν.
ἀνθ᾽ ὧν ἀναστάντ᾽, ἐν ταχεῖ πορευτέα
ἐστὶν μεθ᾽ ἡμῶν, ἔνθα καὶ λελουμένος,
κόσμου κυρήσεις μᾶλλον εὐπρεποῦς τινος
τοῦ νῦν, ἀνάκτων ὄμμασιν παρεστάναι.
ΣΑ. Τοίγαρ σὺ τούτοις ταῦτ᾽ ἀπάγγειλον πάλιν·
Σαμψῶν᾽ Ἑβραῖον ὄντα γ᾽ οἰκεῖος πέλας
οὐκ ἐᾷ παρεῖναι τῆσδε θρησκείας νόμος.
ΚΗ. Τῶνδ᾽ ἂν, σάφ᾽ ἴσθι, μηδὲν ἀρκούντως ἔχοι.
ΣΑ. Ἆρ᾽ οὖν τι τούτων, ὡς τανῦν, λελειμμένοι,
ὁποῖ᾽ ἂν εἴη παιδιᾶς ἡδύσματα·
γελωτοποιῶν, βωμίων πλήθους λόχων,
μορμῶν, ἀγυρτῶν, πυῤῥίχων, ὑποκριτῶν,
δρομέων, παλαιστῶν, μονομάχων, κελητίων·
τὸν ἄνδρα τοῦτον, τὸν πέδαις καὶ δημίων
ἄχθει μύλωνος τῶν πόνων τριφθέντ᾽ ἄγαν·
ἐξαίρετον ποιοῦσιν ἐς θεωρίαν;
τυφλήν τιν᾽ ἰσχὺν, οἷα δῆτ᾽ ἀνόμματον,
γέλωτος οὕνεκ᾽ ἐγκρατῶς κινούμενον.
ἢ καί τι καινῶν μηχανὰς τιμωριῶν
ζητοῦσι τούτῳ, τῆς ἀπειθείας χάριν;

ἢ τῶν παρόντων χλευάσαι μᾶλλον κακῶν ;
οὐ φήμ' ἂν ἐλθεῖν· σὸν δ' ἄρ' ὧδ' ἕρπειν πάλιν.
ΚΗ. Σάφ' ἴσθ' ἄναξι τοῖσδε προσκρουσθεὶς λίαν·
καὶ τῶνδ' ἀφίστασ', εἴ τί σοι σαυτοῦ μέλει.
ΣΑ. Μέλει μάλιστά γ'· ὥστε συννοίας ἅμα,
καὶ τῆς ἔπειτα λόγον ἔχειν εὐθυμίας.
μὴ γὰρ γένοιτο ξυνταλαιπωρεῖν τόσον
τὸν νοῦν πόνοισι τοῖσδε τοῖς τοῦ σώματος,
ὡς καὶ μαλαχθεὶς ἢ καταπληχθεὶς ἄγαν,
αὐτὸς πρὸς αὐτοῦ τὴν κάκην ὀφλισκάνῃ,
τοιᾶσδ' ἀναγκῆς τῷ 'λόγῳ πεπεισμένος.
μηδ' οὖν παραστῇ τοῦτό γ' ἐλπίσαι τινί.
δοῦλος μὲν ὢν σφιν, τῶν λατρευμάτων χάριν,
ξύνοιδα καὐτός· οὐ γέλωτος ὄργανον,
μωρῶν τε μωροῖς ἐργάτης ἀθυρμάτων.
αὐτὸς μεταξὺ καρδίαν λυπούμενος,
βίας θεώρημ', ἰσχύος τ' αὐτοῖς γεγὼς,
θεῶν τ' ἀγώνισμ' ἀντίον κατασταθεὶς
τῶν σφῶν, ἁπάντων ὡς ἐμοίγ' ἀναξίων
μάλιστ' ἂν αἰσχρὸν, καὶ δι' αἰσχύνης παθεῖν,
ἄλλως τε πλείστης αὐτὸ τοῦτ' ἀτιμίας.
τούτων κυρήσων, οὔ τι μὴ πρόσβω ποτέ.
ΚΗ. Ἡμῖν τὰ τούτων ἐντολῶν πάλιν φέρειν
τάχιστ' ἐφίετ'· ἆρά σοι 'γνῶσται τάδε ;
ΣΑ. Καί σοι δὲ, κἀμοίγ'· ἀποφέρων δ' ἂν οὐ φθάνοις.
ΚΗ. Τὸ στεῤῥὸν ἄλγος, ὧν τόδ' ἄρξεται, πάλαι.
ΣΑ. Ἄρξαιτ' ἄν· οὐ γὰρ τοῦτό πως ψεύσας ἔχεις.
ΧΟ. Σαμψὼν, φρόνησον· ὡς ῥοπῆς σμικρᾶς ἐπὶ
κεῖσαι, σφαλῆναί τ', εἴ τ' ἀνορθοῦσθαι πάλιν.
μή που δ' ὅδ' ἔσται, τἀπὸ σοῦ μυθούμενος,
τὸ πῦρ ἐλαίῳ μᾶλλον ἠρεθισμένον.

ἐλπίς τί γ᾽ ἤδη δεσποτῶν φρονοῦν λαβεῖν,
βροντήν τ᾽ ἀνάκτων, σοὶ μὲν οὐκ ἀνασχετόν.
ΣΑ. *Ἦ καὶ τὸ δῶρον τῆς βίας τὸ θεύμορον,*
τὸ ξὺν παλαιοῖς, ὡς τὸ πρὶν, τριχώμασιν,
βλαστόν ποτ᾽ ἐκ τῆς ἀθλίας ἁμαρτίας·
λαβὼν τόδ᾽ αὖθις, αὖθις αὖ ᾽πιχρήσομαι,
νέων ἀμοιβαῖς ἀξίαις χαρισμάτων;
καὶ μεῖζον αὖτε τῶν πρὶν ἀμπλακῶν ἔχω,
ἱρῶν τ᾽ ἀθίκτων θ᾽, ὡς πρὸς εἰδώλων χάριν,
τὸ πᾶν μιάνας· καὶ Θεῷ γ᾽ ὡρισμένος,
τόπων βεβήλων ἐντὸς, ἐνδεδειγμένος
Τρίτωνος ἰσχὺν τὴν ἐμὴν ἐναντίον.
φλαῦρον τόδ᾽, αἰσχροῦ καὶ γέλωτος οὕνεκα·
μύσος δ᾽ ἁπάντων καὶ βδέλυγμ᾽ ὑπέρτατον.
ΧΟ. *Καὶ μὴν ἀνοσίοις κἀπεριτμήτοις σθένος,*
βρετῶν λατρευταῖς, τοῦτο δουλώσας ἔχεις.
ΣΑ. *Οὐχ ὡς ξὺν αὐτοῖς δεισιδαιμονεῖν ὁμοῦ·*
τροφῶν δὲ μισθὸν ἔνδικον καλόν τ᾽ ἐμῶν
λύων κατ᾽ ἦμαρ, οἷς κρατούμενος κυρῶ·
νόμοισιν ἐθνέων μέχρι τοῦδ᾽ ὑπήκοος.
ΧΟ. *Ὅσοις δ᾽ ὁ θυμὸς ἐνδόθεν μὴ ξυνδοκεῖ,*
βέβηλον ἔργων μηδὲν ἔξωθεν πέλει.
ΣΑ. *Εἰ γοῦν ἀνάγκης τοῖσδέ τι προσκείσεται·*
τίς δ᾽ αὖτ᾽ ἔμ᾽ ἄξει πρὸς τὰ Τρίτωνος βία,
εἰ μὴ δι᾽ ὁλκῆς; δεσπόταις δοκεῖ τάδε.
οὐδὲν δ᾽ ἀνάγκης ἐντολαῖς μόναις ἔνι·
αἷς δὴ ᾽πακοῦσαι, τοῦτό τοι θοὐκούσιον
τοῦ τλαντὸς ἐς τὸ θεῖον ἐγκεκρουκέναι
θνητῶν τ᾽ ἀπειλῶν, καὶ φόβου θνητῶν χάριν·
πρόσθεν τε τὰ θνήτ᾽, ἔμπαλιν τὸν Θεὸν ποιεῖν.
ὃ καὶ, σάφ᾽ ἴσθι, τῷ Θεῷ ζήλου χάριν

ἀμεταμέλητον οὔ τι μὴ 'φεθήσεται.
ὡς μὴν παρ' αὐτοῖς τοῖς βρετῶν σεβάσμασιν,
καὶ σοί γε κἀμοὶ τῶν νεῶν ἔσω κυρεῖν,
σπουδῆς ἕκατι, τῶν τε προὔργου του, θέμις·
ξύμφημι καὐτὸς, κοὐκ ἂν ἀντείποιμ' ἔτι.

ΧΟ. Ποίαν δ' ἄρ' ἕξεις τοῦδε τἀπόρου λύσιν;

ΣΑ. Θάρσει· ξυνῄδη γ' αὐτὸς ἐνθυμημάτων
τῶν μὴ ξυνηθῶν ἀρτίως κινουμένων,
δι' ὧν τι δή μοι φροιμιάζεται νέον.
τοίγαρ ξὺν ἀνδρὶ τῷδε συμπορεύσομαι·
μηδὲν τὸν ἡμῶν ἢ καταισχυνῶν νόμον,
ἢ τοὐμὸν ὅρκοις τῷ Θεῷ ψεύσων δοθέν.
εἴ του δ' ὁ θυμὸς μάντις οἰκεῖος πέλει,
ἤτοι περισσῶν τοῦτό μοι τὸ σήμερον,
σεμνῶν θ' ἕκατι, τῶν πρὶν ἐκπρεπέστατον,
ἢ ζῶντος αὐτὸ τοὔσχατον τετεύξεται.

ΧΟ. Τάδ' οὐκ ἄκαιρα· καὶ γὰρ ἐξ ὑποστροφῆς
αὐτὸς πάρεστιν.

ΚΗΡΥΞ.

Σοί μὲν οὖν, Σαμψὼν, τόδε
ἐκ τῶν ἀνάκτων τῶν ἐμῶν τὸ δεύτερον
τἄγγελμ' ἀφῖκται· Μὴ σύ γ' αἰχμάλωτος ὢν,
καὶ δοῦλος ἡμῶν, δημίοις θ' ὑπήκοος
μυλῶν ἀνάγκαις, πᾶσιν ἐν κοινῷ λάτρις·
αὐτὸς τοσοῦτο δεσπότας ὑπερφρονεῖς,
ἡμῶν καλούντων μὴ κλύειν πεπεισμένος;
τοίγαρ τις ὧδε ξὺν τάχει παρελθέτω·
εἰ μή τι τοίων μηχανῶν γεγεύσεται,
οἵαις βεβαίων ἐξαναστῆναι βάθρων,
εἰ καὶ πέτραισι γῆθεν ἦν ῥιζούμενος.

ΣΑ. Τοιῶνδε κἀγὼ μηχανῶν ἂν ἄσμενος

πεῖραν λάβοιμι· τῶν ἂν οὐκ ἄνευ φθορᾶς
πολλοῖσιν αὐτῶν, οἶδ' ἐγὼ, προσηγμένων.
εἰδώς γε μέντοι πλειόνων λελειμμένον
τοὐμὸν παρ' αὐτούς· μηδὲ ταῖς ὁδοῖς θέλων
βίας καθελχθεὶς, θὴρ ὅπως, σφίσιν τυχεῖν,
ἕτοιμος ἐλθεῖν· ἄμαχά που τὰ δεσποτῶν·
καὶ πάντ' ἀναντίῤῥητα τοῖς δουλουμένοις.
ζωῆς δε πᾶς τις ἦν ἂν εὔπειστος χάριν,
θνητῶν ξυνηθεῖ χρώμενος φρενῶν τρόπῳ.
ὅμως δὲ μηδὲν αἰσχρὸν ἂν δεδρακότα,
νόμοις τ' ἐν ἡμῖν, μὴ δόκει, μ' ἐναντίον.
ΚΗ. Τούτων σ' ἐπαινῶ, καὶ πεδῶν ἐλεύθερον
ἄνωγ' ἕπεσθαι· προσφιλῆ τῶνδ' οὕνεκα
ἄναξιν ὄντ' ἄν· εἴ τι μὴ κἀφειμένον.
ΣΑ. Χαίροιτ' ἀδελφοί· καὶ γὰρ οὐ ξυνεμπόρους
λάβοιμ' ἂν ὑμᾶς, μή τι τοὖθ' ὕποπτον ᾖ,
φίλοισι τοὐμὸν ἀμφικυκλωθὲν δέμας.
οὐδ' οὖν τόδ' οἶδα, μὴ οὐχὶ καὶ μνήμης ὕπο
ὀργή τις αὐτοῖς ὡς τανῦν κινήσεται,
ἰδοῦσιν ἀνδρὸς ὀμμάτων ἐναντίον
τὸ σῶμα τούτου, τοῦ πάλαι στυγουμένου.
φιλεῖ δ' ἄναξιν οἶνος ἐξαίρειν πρόσω
θυμόν· μάλιστά τ' ἐν μέσαις εὐωχίαις
ζῆλός τις ἱρέων ἅψεται πυρούμενος,
εἴ που τὰ τῶν θεῶν, καὶ τὰ θρησκείας πάρα.
ὣς καὶ τὸ δήμου λάβρον ἐν πανηγύρει,
ὑβριστικόν τε κοὐ κατάσχετον κυρεῖ.
εἴ τ' οὖν τι τούτων, εἴ τε μὴ γενήσεται,
τοσοῦτό γ' ἴστε, μηδὲν ἂν κλυεῖν ἐμοῦ,
οὔτ' αἰσχρὸν, οὔτ' ἄναγνον, οὔτ' ἀνάξιον
τοῦ Θεοῦ τε, κἀμοῦ, τοῦ νόμου τ' εἰργασμένου.

πλέον δὲ τούτων οὐδὲν οἶδ' ὑπέρτερον.

ΧΟ. Χαίρων στείχοις· καί σοι Ἀβράμου
σέβας ὕψιστον, δι' ὅσων αὐτῷ
προκοπῆς ἁγίων μάλ' ὑπηρεσιῶν
τεύξεται αὐτός· κληδόνα σεμνὴν
δόξης ἐθνῶν διὰ κηρύξας·
τούτων μὲν ἅπαντ' αὐτὸς ὁδηγῶν,
τῆς σῆς γενεᾶς εὐαγγελίων
κήρυκα τὸ πρὶν, κἀκ πατρὸς ἀγρῶν
πτερύγεσσι φλογῶν ὑψόθ' ἀερθέντ',
ἄγγελον ἤδη πέλας ἵστασθαι
τόνδε προπέμψαι· κεφαλῆς μὲν ὑπὲρ
φλογεράν τινα σῆς ἀσπίδ' ἔρεισαι.
τὸ δέ σοι πρῶτον, τὸ Δάνος μεθ' ὅπλων,
Πνεῦμ' ἐποροῦσαν, πάλιν ἐξ ἀρχῆς
πρὸς τόδ' ἀνάγκης ἐπίκουρον ἔχοις.
οὐδὲ γὰρ οὐδεὶς ἰσχύος ἤδη
τόσον οὐρανόθεν γ' ἔλαχεν θνητῶν,
ὅσον ἀνδρείας
θαύμασι τῆς σῆς ἐνεδείχθη.
Ἀλλὰ γὰρ αὖθις δεῦρο Μανώας,
ποσὶ κραιπνοτέροις ἢ πρὶν ἐλαύνων,
τὸ γέρον νεαροῖς κῶλον ὅμοια
σπεύδει· φαιδρός τ' ὄμμασι σαίνων,
ὧδε τόν υἱὸν δῆλος ἱκανὼν
πάλιν ὡς εὕρῃ· περὶ δ' αὖ τούτου
τινὸς ἀγγελίας
ἀγαθῶν ἡμῖν μεταδώσων.

ΜΑ Χαίροιτ' ἀδελφοὶ, χἴλεως ὑμῖν Θεός.
οὔτοι τὸν υἱὸν τῇδε προσδοκῶν ἔτι
εὑρεῖν παρῆλθον, ἀρτίως μὲν ἐντολαῖς

ταῖς τῶν ἀνάκτων τῆς πανηγύρεως χάριν,
ἀθυρμάτων τε τῶν ἐνεστώτων τανῦν,
ἐνθένδ' ἀναχθένθ'· ὧν ἐγὼ πεπυσμένος
ἔχω τὰ πάντα. σείεται μὲν ἡ πόλις,
ἠχεῖ θ' ἅπασα· μυρίον τε ξυντρέχει
τὸ πλῆθος αὐτῶν τήνδε πρὸς θεωρίαν.
οὔκουν ἔγωγε, μή τί πως ἀσχημονεῖν
ἴδω τὸν υἱὸν αὐτὸς ἠναγκασμένον·
ἄλλως τε χὠς ἂν ἐλπίδων οἵων ὕπο
λύσειν νιν ἤδη, κἄφετον λαβεῖν πάλιν,
πέποιθα, τούτων τὴν χαρὰν ὑμῖν διδῶ.

ΧΟ. Τούτων πάλαι μὲν, ὦ γέρον, τῶν ἐλπίδων
διψῶμεν ἡμεῖς, ὥσπερ ἡδίστων κλύειν.

ΜΑ. Καὶ μὴν ἑκάστοις κυρίων σφιν ἐντυχὼν,
ἤτοι κατ' οἴκους, ἢ μέσων ῥυμῶν ἔπι·
πολλὰς γενείων προσβολὰς ἀνηπτόμην,
ἱκετηριῶν τε καὶ δακρυμάτων μέτα,
τῶν τοῦ τεκόντος· ἀντὶ δεσμώτου τί μοι
τοῦ σφεων δέχεσθαι, τοῦ τ' ἐμοῦ τέκνου, λύτρων.
εὗρον δὲ τούτων τοὺς μὲν αὐθάδεις λίαν,
εὖ μάλα τ' ἀκάμπτους· προστροπῶν ὑπερφρονεῖν,
ἀνασπάσαντας τὰς ὀφρῦς· τιμωρίας
τὸν θυμὸν, ἔχθρας τ', οὐδέπω 'μπεπλησμένους.
τούτοισι τοῦ Τρίτωνος ἦν πλεῖστον σέβας,
Τρίτωνος ἱρέων τ'. ἔστι δ' οἳ 'δόκουν πλέον
πρὸς τοὐπιεικὲς, τήν τε συγγνώμην ῥέπειν·
λάθρα δὲ τούτοις κέρδος ἦν ἐν ὄμμασιν,
τούτου τὰ τῶν θεῶν πάντα κἀνθρώπων ἑνὸς
πωλεῖν ἑτοίμοις. τοῖν δυοῖν δ' ἠλλαγμένον,
μακρῷ τ' ἄριστον, ἦν τόδ' εὐγενῶν ἄρα
χρηστῶν τε φῦλον ἐντὸς ἐνθυμούμενον.

οἳ καὶ τὸν ἐχθρὸν ὧδ' ἀμηχάνως σφίσιν
ἔχονθ' ὁρῶντες, καὶ χερῶν ὑπηγμένον·
μηδὲν τὸ δεινὸν τοῦδ' ἔτ' ἂν πεπονθότες,
ἅλις μὲν ἔφασαν τοῖσδ' ἔχειν τιμωρίας·
πέρα δὲ τούτων, εἴ τι δυσμενὲς μένοι,
γενναιότητός ἐστι πᾶν ἀφειμένον,
τύχης ἀμοιβῶν ἐκ μέτρου τινῶν μετά.
Τί τόδε τῆς βοῆς παρῆξεν, οὐρανὸν διασχίσαν;
ΧΟ. Δηλάδη κεκραγότος τόδ' ἐκ λεώ γ' ὑπεῤῥάγη·
τὸν προτοῦ σφιν ἐχθρὸν ὄντα, καὶ φόβημ' ὑπέρτατον,
αἰχμάλωτον ὡς κατεῖδεν ἐς τανῦν, κἀνόμματον,
ἤ τι καὶ βίας ἔναντα θαυμάτων του 'πῄσθετο.
ΜΑ. Λύτρων μὲν οὕνεκ', οὐ φθάνοι γ' ἀφειμένος.
τῶν φυλετῶν γὰρ φρατόρων θ' ὅτου ποτὲ
θέλοιμ' ἂν αὐτὸς ἐνδεέστερος κυρεῖν,
τούτου πρὸς οἴκους αὖθις ἐκσεσωσμένου·
ἢ καὶ τὰ πάντων πρῶτ' ἔχειν εὐδαιμόνων,
αἰσχρῶς τὸν υἱὸν ὑπεριδὼν ὀλωλότα.
οὐ μή τι τούτου βήσομαι χωρὶς πάλιν,
οὐδ' εἰ πατρῴων τῶν ὑπαρχόντων ὅλων
χρεία τις ἔσται τοὐγ' ἀφεστάναι χάριν.
πάντ' ἄσσ' ἂν ἡμῖν τῷδ' ἅμ' ἀρκούντως ἔχοι.
ΧΟ. Ὧν μὲν τοκεῦσιν ἐν δόμοις κεκρυμμένων,
υἱοῖς ὑπάρχει λῆξις ἐκδεδεγμένοις·
τῶνδ' αὐτὸς ἤδη τῷ τέκνῳ παρεὶς ἔχεις.
ὧν δ' αὖ γονεῦσι γήραος μὲν οὖν τροφῶν,
προσῆκον ἦν ἂν τοῖς τέκνοις δοῦναι πλέον·
υἱῷ σὺ τούτων μοῖραν ἀπονέμειν θέλεις,
γέρων γέροντος γηροβοσκήσων σκότον.
[γηροβοσκίας]
ΜΑ. [Καὶ δὴ τὰ τῆσδε γηροβοσκήσεως μακρῷ]
[καθ' ἡμέραν]
ἥδισθ' ὑπάρξει τῶν ἐμῶν καθημέραν.

τὸ φέγγος
φέγγος [μὲν] αὐτοῦ τημελεῖν σκοτούμενον,
[αὐτὸς πρὸ φέγγους, ἀντί τ' ὀφθαλμῶν κυρῶν·]
ἕδραις τ' ἐν οἴκοις ἱστορεῖν καθήμενον,
καὶ τῶν ἐκείνου, τῶν ἀειμνήστων, κλέος
ἔργων ἔτ' ἴσχειν, πρός τ' ἐμοὶ σῴζειν ἀεί·
ὁρᾷν τε νώτοις τἀγλάϊσμα τῶν κομῶν,
ἡδεῖαν ὄψιν· αἷσπερ ἦν ὡπλισμένων
ὁμοῦ τις ἰσχὺς ἐθνέων ἠθροισμένη·
ἣν καὶ τὸ θεῖον οὐδαμῶς ἂν ἤθελεν
βλαστεῖν ποτ' αὖθις, ξὺν νέαισι βοστρύχων
βλάσταισι τούτων· αἳ παρεμβολῶν δίκην,
πολλῶν λόχοισι κἀγαθῶν πεφραγμένων,
φρουροῦσ' ἐκείνου κἀμφικυκλοῦσιν κάρα·
εἰ μὴ 'τι ταύτην ἔργμασίν γ' ἐβούλετο
σεμνοῖς ὑπηρέτημα κἀξίοις λαβεῖν·
δώρων τοιούτων μηδὲν ἂν γέλωτ' ὀφλεῖν
θέλων, ἀχρεῖον ἐν δόμοις καθειργμένον.
ἐπεὶ δὲ δυντὸς οὐ ξυνέσβεσται τάδε
τοῦ φωτὸς, ἐλπὶς καὶ τὸ φῶς τῆς ἰσχύος
χρόνῳ ποθ' ἕξειν ἀποκατασταθὲν χάριν.

ΧΟ. Ἡμῖν μὲν οὐδὲν ἐλπίδων τῶν νῦν, γέρον,
ἔοικας εἰ μὴ ξὺν δίκῃ νόῳ τρέφειν·
οὔθ' ὡς τὸν υἱὸν ἐν βραχεῖ λυθέντ' ἰδεῖν,
οὔτ' εἴ τι τῶνδε χαρμονῆς ὑπέρτερον
ὁ θυμὸς ἔνδον, ὡς πατρός περ, ἐννοεῖ.
καὶ τῶνδε χἠμῖν τῆς χαρᾶς μέρος μέτα,
τοῖς σοί τε καὐτῷ πρὸς γένους οὖσιν πάλαι.

ΜΑ. Κοὐ μή ποθ' ὑμῶν τοὐδέ γ' εὔνοια σφαλῇ·
Ἵλεων τὸ θεῖον ἡμῖν· πῶς δὲ τοῦτ' ἀθέσφατον,
καὶ διαπρύσιον δέδουπε, φρικτὸν ὠσὶν ἐμβαλεῖν·
τῶν ξένων τι, τοῦ τε πρόσθε πάμπαν ἠλλοιωμένον;

ΧΟ. Μῶν ἄρ᾽ ἐνδέδουπε τοῦτο; μή οὐχὶ τοὔσχατόν τί γ᾽ ἦν
τοῦτο δὴ τὸ πᾶν στενάξαν, κτισμάτων κενούμενον;
αἵματος τόδ᾽ ἦν, ὀλέθρου τ᾽, ὀλεθρίως τ᾽ εἰργασμένων·
τήν τ᾽ ἀνάστασίν τ᾽ ἐν ἀκμῇ, τὴν φθοράν τ᾽ ἐσάλπισεν.
ΜΑ. Ὡς ἀναστάσεως μὲν αὐτὸς, πτωμάτων τ᾽ ᾤμην κλύειν.
ἴδε μάλ᾽ αὖθις ἐῤῥάγη τόδ᾽· ἆρά τίς γ᾽ ἐσφαγμένος
τῶν ἐμῶν ἔχει σφιν ἤδη; ΧΟ. Μᾶλλον ὡς ἡμῖν δοκεῖ,
ἀρτίως τἀκεῖνα πάντα πρός γε σῶν φονεύεται·
οὐδὲ γὰρ φόνων ἑνός γε τόσον ἂν ὠρόρει βοῆς.
ΜΑ. Ὥς τι δεινὸν ἐκβέβηκεν, εὖ γε τοῦτ᾽ ἐπίσταμαι·
μή τις οὖν δραμὼν ἐκεῖθι ταῦτα πάντ᾽ ἀνιστορῇ;
ΧΟ. Μηδαμῶς· ἄμεινον ὧδε ξυστραφέντας ἐμμένειν·
μή τι κεὶς κίνδυνον αὐτὸς οὐχ ὁρῶν τις ἐμπέσῃ.
τοῦτο δ᾽ ὅ τι ποτ᾽ ἦν τὸ δεινὸν, τοῖς Παλαιστίνοις ἔφυ·
πῶς γὰρ οὔ; τὸ κοινὸν εἴ περ ὀρθίοις οἰμώγμασιν
τοὖθ᾽ ὁμόῤῥοθον κέκραγε; τῶνδε γοῦν πεπονθότων,
οὔ τι μή τις ὧδ᾽ ἐπελθὼν δυσμενῶν κατάρξεται.
πρός γε μὴν τὰ λοιπὰ πάντ᾽ ἐν ἀσφαλεῖ καθέσταμεν.
ἆρα, τῷ γὰρ Ἰσραῆλι τοῦ σθένους ἀρχηγέτῃ
δυσκατέργαστον μὲν οὐδὲν, οὐδὲ θαυμάσαι γ᾽ ἔφυ·
ὀμμάτων σὸς υἱὸς ἄρτι κύριος πάλιν γεγὼς,
πάντ᾽ ἀμωσγέπως ἐκεῖνα ταῖς φοναῖς ἀμείβεται,
τοῖς ποσὶν σωροῖσιν ἤδη τῶν νεκρῶν ἐπεμβεβώς.
ΜΑ. Πρὸς χαρᾶς τόδ᾽ ἂν πέφυκε· κἄτι δὴ περαιτέρω.
ΧΟ. Εἰ δὲ πιστὸν οὐδὲν ἧσσον τῶν πάλαι γ᾽ εἰργασμένων·
πῶς γὰρ αὖθις οὔ τι τούτων τῷ Θεῷ πεπράξεται;
ΜΑ. Ὡς δύναιτ᾽ ἂν οὐκ ἄπιστον· ὡς θέλοι δ᾽ ἀμηχανῶ·
εἴ τι καὶ τὸ θάρσος ἐλπὶς μᾶλλον ἐς τὸ σὸν ῥέπει.
οὐ μὲν οὖν τις ὧδε δαρὸν ἀμφιδοξήσει μενών.
ΧΟ. Ὁποτέρως πέφυκε ταῦτα, μεῖζόν ἐστιν ἢ λαθεῖν·
τῶν κακῶν δὲ θᾶσσον ἕξει τις τόσῳ πεπυσμένος,

ὡς σχολῇ τὰ χρηστὰ πάντα, τὰ δὲ κάκ' αὐτόματα πάρα.
δεῦρο δ' ἐς δεόν τις ἡμῖν φυλετῶν ἐπέρχεται·
τοῦδε γὰρ δράμημα φωτὸς ὡς ἀδελφὸν ἐκπρέπει.

ΑΓΓΕΛΟΣ.

Ποῖ δ' ἔγωγε δὴ τράπωμαι; τοῦ σκέπης δεδράξομαι;
ποῦ δὲ φεύξομαι τὸ δεῖμα καὶ τὸ φρικτὸν ὄψεως,
ἧς θεωρὸς ἦν ἔναγχος, ἄρτι δ' ὄμμασιν νοῶ;
ἄρτι γὰρ θέας ἔσωθε δεῖμα τῆσδέ μ' ἐκφοβεῖ.
ἀλλ' ὅμως μὲν ἢ φύσεως τόδ' αὐτοκίνητόν μέ που,
ἢ τὸ θεῖον, ὧν ὁδηγὸς, ἤ τις ἐκπλαγεὶς ὅμως
αὐτὸς ὀρθόβουλος ὧδέ πως λογισμὸς ἤγαγεν·
ἔνθα πρῶτον ἐς γέροντος ἦν πεσεῖν σέβας τόδε
τοῦ Μανώου· ξύν τ' ἐς ὑμᾶς, ξυγγενῶν ὁμοστόλους,
οὓς μὲν ᾐσθόμην ἔγωγε τῇδέ ποι λελειμμένους,
ἐκποδὼν τοὔργου μὲν ὄντας, τῆς θέας τ' ἀνομμάτους,
τῶν πεπραγμένων δ' ἄγαν τὸ δεινὸν οἰκειουμένους.

ΜΑ. Προὔφθασεν κωκυμάτων σ' ἄρ' ὄρθιός τις ἄγγελος·
εἰ δὲ μή τι δεῖμ' ὑπάρχον, οὐδὲν οἴδαμεν πλέον·
φροιμίων δ' ἕκατ' ἂν ἡμῖν ἐννέπων οὐκ ἂν φθάνοις.

ΑΓ. Ἄσμενον τόδ' ἂν παρέλθοι· πνεύματος δ' ἐμοί τι δεῖ·
καὶ διεπτοημένων δὲ ζωπυρήματος φρενῶν.

ΜΑ. Αὐτὰ τἀκπεπραγμέν' εἴποις· τῶν κύκλῳ δὲ μὴ μέλοι.

ΑΓ. Γάζα μὲν τἄρ' ὄρθ' ἔτ' ἔστη· τῶν τέκνων κεῖται δ' ἅπας,
ξὺν φθορᾶς κλύδωνι ταὐτῷ, κακαρεῖ δ' ᾠχωχότες.

ΜΑ. Δεινὸν, εἴ τι δεινὸν ἦν ἂν δυσμενῶν πεπυσμένοις
Ἰσραῆλος οὖσιν ἡμῖν του πόλεων ἐρημίας.

ΑΓ. Ὡς τι μὴ λύπης κορεσθῇς, τοῦτο βουκολεῖν πάρος.

ΜΑ. Τίς δ' ἄρ' ὧδ' ἔπραξε ταῦτ' ἄν;

ΑΓ. Ἔργα Σαμψῶνος τάδε.

ΜΑ. Ἐσθλὰ ταῦτα· τοῦ μὲν ἄλγους οὐχ ὅπως ἠλλαγμένα,
ἀλλὰ καὶ χαρᾷ τι μᾶλλον ἡδονῇ τ' ἐμφύντ' ἰδεῖν.

ΑΓ. Ὦ πρέσβυ, ταῦτα ξὺν λίαν τάχει τινὶ,
ὧν καὶ πρὸ καιροῦ κεἰς τέλος πεπυσμένος
ἕξεις, πάλαι σοι μὴ λέγειν φυλάσσομαι·
μὴ καὶ γέροντος ὠσὶν ἐμβεβλημένης
ἀπροσδοκήτων ἀθρόας του ξυμφορῶν,
κλύδωνα δεινῶν οὐκέτι στέξεις κακῶν.
ΜΑ. Τἄδηλα μέντοι τῶν κακῶν ὑποψίας,
καὶ δυσχερείας, τῶν σαφῶν μᾶλλον γέμει.
ΑΓ. Τοίγαρ σὺ τούτων ξυλλαβὼν τὸ πᾶν μάθοις·
τέθνηκε Σαμψών.
ΜΑ. Ὦ κακῶν ἐμῶν κλύειν
ἄλγιστον ἤδη· μηχανῶν τε τῶν ἐμῶν
ἀνωφέλητα πάντα· ταῖς ἐψευσμένος
ἤλπιζον αὐτὸν οἴκαδ' ἂν σεσωσμένον.
κοινὸς δ' ἅπασι πρόξενος τοὐλευθέρου,
καὶ τόνδ' ὁ θάνατος, ὡς ἔοικε, παντελῶς
ἔλυσ', ἀποίνων δωρεὰν ἀφειμένον.
ὥσπερ δὲ πρώτων ἦρος ἐκ βλαστημάτων
τἄωρα πάντα, καὶ χρονίζοντός γ' ἔτι
χειμῶνος, αὔραις ἐκγεγηθότ' ἀμφαδόν·
φθόνος τις ἄκρας τοῦ κρύους οὐραγίας
πάχναις ἔπνιξεν, ἐν βραχεῖ τ' ἀπέσβεσεν·
οὕτω δ' ἄρ' ἀμῶν ἐλπίδων τὰ κύματα,
χαρᾶς ματαίας κἀνέμου φυσήματα,
τῆσδ' ἐς τὸν οἶκον τοῦ τέκνου σωτηρίας·
ἀπεῤῥύηκε καὶ κατήμβλωκεν πάλιν.
μή που δὲ λύπῃ γ' οὐκέτ' ἄξιον χαλᾷν,
πρὶν ἢ τὸν υἱὸν τοὔσχατον τόδ' ἱστορεῖν,
πῶς καὶ τελευτᾷ· τοῦ πότμου διπλοῦς τρόπος
κηλῖδα τῷ ζῆν, στέμμα τ' εὐκλείας φέρει.
πάντες μὲν αὐτῷ· τῷ δ' ἐκεῖνος ὤλετο;

τοῦ δὴ τόδ᾽ ἆθλον· τῷ δὲ δυσμενῶν κλέος
Σαμψὼν μέγιστον, καιρίαν πεπληγμένος.
ΑΓ. *᾿Απώλετ᾽, ἐχθρῶν μηδενὸς πεπληγμένος.*
ΜΑ. *Φοναῖσιν οὖν ἔκαμνεν· ἢ τί δή ποτε ;*
ΑΓ. *Αὐτὸς πρὸς αὐτοῦ.*
ΜΑ. *Μῶν ἄρ᾽ αὐτόχειρ᾽ ἐρεῖς ;*
καὶ πῶς ἐν ἐχθροῖς αὐτὸς ὧδ᾽ ἀναστραφεὶς,
ἔβη δι᾽ ἔχθρας θερμὸς ὢν αὑτῷ τινος ;
ΑΓ. *Δειναῖς μὲν ὀλέσας τοῦ ξυνόλλυσθαί τισιν*
χρησθεὶς ἀνάγκαις· τῶν στεγῶν ὅποι θέας
ξύμπαντες ἦσαν οἳ ξυναχθέντες χάριν,
αὐτοῦ ᾿πὶ κρατὸς, κἀπὶ τῶνδ᾽, ἐπέσπασεν.
ΜΑ. *Ὦ τῆς καθ᾽ αὑτῆς τῆς ἄγαν βίας τινὸς,*
δειναῖσι δεινῶν μηχαναῖς τιμωριῶν.
ἅλις μὲν ἤδη ταῦτα δηλωθέντ᾽ ἔχει·
ὅμως δὲ, κεἴ τι μηδέπω σκεθρῶς ὁρᾷν
πάρεστιν, ὧδε ξυμφοραῖς σκοτουμένων,
τούτων καταστὰς αὖθις ἐξ ἀρχῆς λέγοις
ἕκαστον ἡμῖν· ὧνπερ αὐτόπτης γεγὼς
πρώτοις θ᾽ ὁμοίως χὐστάτοις παρεστάτεις,
τὰ πάντα γράψας, καὶ διαρθρώσας πλέον.
ΑΓ. *᾿Εγὼ μὲν ὄρθρου τὴν πόλιν χρείας τινὸς*
βεβὼς ἀνάγκαις· ὡς ἅμ᾽ ἡλίου βολαῖς
πυλῶν διῆλθον, πρωϊνῶν ἐπῃσθόμην
λαύραις τ᾽ ἀγυιαῖς τ᾽ ὀρθίων σαλπισμάτων,
ὡς ἐγγὺς οὔσης τῶν πανηγυρέων τινός.
καὶ πρίν τι τῶν μου πραγμάτων τέλος λαβεῖν,
ὁ θροῦς διέρπει, πανταχοῦ θρυλλούμενος,
ὅθ᾽ οὕνεκ᾽ αὐτοῖς ἀντίον κατασταθεὶς,
βίας ὁ Σαμψὼν τῆς ὑπερβίου τάχα
πεῖράν τιν᾽ ἔσται σήμερον δεδειγμένος.

καὶ τῶνδ᾽ ἀκούσας, τῆς ἀναγκαίας τύχης
ᾤκτειρον αὐτὸν, ὧδ᾽ ἔχοντ᾽ ἐνυβρίσαι·
οὐχ ὡς δ᾽ ἀπεῖναι τῆς θεωρίας θέλειν.
τὸ δὴ θέατρον ἡμικύκλιον μὲν ἦν,
κατάστεγον δὲ κεὐρύχωρον· ἐν διπλοῖς
στύλων μεγίστοις δεσπόταις τ᾽ ὀχούμενον.
πέριξ δὲ βαθμῶν ἦν στίχες τετυγμέναι,
τιμαῖς τε κἀρχαῖς τῆς προεδρίας χάριν,
λοιπῶν θ᾽ ἑκάστοις ἐν μέρει τεταγμένοις.
μέρος δὲ τούτοις θάτερον τετραμμένον,
ἔνδιον ἔσχεν· ἔνθα βημάτων ἔπι,
στάντες τ᾽ ἀπ᾽ ὄχθων, ὡς προσωτέρω γ᾽ ὅμως
ὁ πλεῖστος ὄχλος τῆς θέας μετείχετο·
ξὺν οἷσι κἀγὼ κρυπτὸς ὢν καθίσταμαι.
ἤδη δὲ μέσσης ἡμέρας τελουμένης,
τὰ τῆς ἑορτῆς μηδὲν ἦν λελειμμένα·
δαιτός τε κῴνου μεστὸς ἐξ εὐωχίας,
αὐτῆς τ᾽ ἐν ἀκμῇ πᾶς τις ὢν εὐθυμίας,
μνήμην ποτ᾽ ἔσχε τῶν ἀθυρμάτων ἐρᾷν.
εὐθὺς δὲ Σαμψὼν ἐς μέσον προήγετο,
στολήν τιν᾽ ὤμοις, δῆμον ἐγγεγραμμένην,
ὡς κοινὸς αὐτὸς δήμιός τ᾽ ἐσταλμένος·
αὐλῶν προπομπὸν κυμβάλων τ᾽ ἔχων κρότον,
πλευραῖς τε τῇ μὲν, τῇ δέ γ᾽ αὖ τεταγμένοις
ἱππεῦσι καὶ πεζοῖσι δορυφορούμενος·
τὰ πρόσθε δ᾽ αὐτοῦ, κἀξόπισθ᾽ ἐφράσσετο
λόγχαισιν ἐγχέων, σφενδόναις, τοξεύμασιν,
λαμπρῶν τε χαλκοῖς τῶν καταφράκτων ὅπλοις.
καὶ τόνδ᾽ ἰδόντων, τῆς βοῆς ἀμήχανος
ἀλαλαγμὸς εὐθὺς οὐρανόνδ᾽ ὑπερράγη·
τὸν δαίμον᾽ αὐτῶν πολλὰ πολλάχις θέας

ἕκατι ταύτης, ξὺν κρότῳ ᾽κπαγλουμένων,
τὸν δὴ τὸν ἐχθρὸν ἐς χέρας δεδωκότα,
φόβων μέγιστον, δοῦλον ὄντα σφῶν βλέπειν.
αὐτὸς δὲ σιγῇ καρτερῶν, θαρσῶν δ᾽ ὅμως,
ὅπου νιν ἦγον, ἐνθάδ᾽ ἐγκαθίσταται.
ἐκεῖ δ᾽ ἄρ᾽ ἄθλων, τῶν ἀεὶ τεθειμένων,
ὅσων γε πεῖραν ἦν ἀνομμάτῳ λαβεῖν,
ἕλξαντι, βαστάσαντι, καὶ τεθραυκότι,
πάντων κατέστη καλλίνικος ἐν μέρει·
βίας τ᾽ ἄπειρον, θαύματός θ᾽ ὑπέρτερον,
μέτρον τι δείξας, μηδενός θ᾽ ὑπερβολῆς
σθένους τοσαύτης ἀνταγωνιστοῦ τυχών.
τέλος δὲ παυσθεὶς, καὶ μέσος τύχῃ τινὶ
ταῖν κιόνοιν γε, ταῖν δυοῖν, ἱδρυμένος·
τὸν οὖν ὁδηγὸν, αὐτὸς ἐξαιτούμενος,
ὡς καὶ πυθέσθαι τῶν πέλας στάντων παρῆν·
δισσοῖς ἱκνεῖται προσθιγεῖν βραχίοσιν
στήλαιν ἐκείναιν, ταῖν δυοῖν, ὑφ᾽ ὧν πλέον
ἠρείδετ᾽ ἀμφὶς πᾶν βάρος θὐπώροφον·
λέγων ἄρ᾽, ὡς ταύταισιν ἐστηριγμένος,
τυτθόν τι μόχθων τῶν πρὶν ἀμπνεῦσαι θέλοι.
ὁ δ᾽ οὐδὲν ἴδρις μέχρι τῶνδ᾽ ἡγήσατο.
ὧν δῆτα Σαμψὼν ἐγκρατὴς μὲν ὡς γεγὼς
πτύξας ξυνῄδει τοῖς βραχίοσιν πέριξ·
ἔστη νενευκὼς, οὔτ᾽ ἄρ᾽ ὀφθαλμοῖς μύσας,
οὔτ᾽ οὖν πρόσωπον ἐς χρόνον γ᾽ ὀρθούμενος,
ὡς δ᾽ ἐν προσευχαῖς· ἤ τι τῶν πολλῆς τινος
σπουδῆς ἔσωθεν ἀξίων νοούμενος.
τέλος δὲ πᾶσιν ὀρθὸς ὢν ἀνέκραγεν·
ἐμοίγ᾽, ἄνακτες, μέχρι τοῦδ᾽ ἐπράσσετο
τὰ δὴ πρὸς ὑμῶν ἐντολαῖς τεταγμένα·

δούλοις μὲν ἡμῖν εὐλόγως ὑπηρετεῖν,
ὑμῖν δὲ θάμβος ἡδονή τ᾽ ἐπιβλέπειν.
ἓν δ᾽ οὖν τὸ λοιπὸν, τῶν ἐμῶν ὑπέρτατον,
ὑμῖν ἀγώνισμ᾽ ἐς θέαν σεσωσμένον,
αὐτόματον ἤδη τῆς βίας χαρίζεται,
ὃ καί τις ὑμῶν ἐκπεπλήξεται λαβών.
τοσοῦτον εἰπὼν, νῶτον ἐγκεκυμμένος,
νεύρων τε κἄρθρων πᾶν ἐπεντείνει σθένος·
ὡς δ᾽ οὖν ἀητῶν ὑδάτων τ᾽ ἔσω μένους
μυχοῖς ἀβύσσων τῶν ὀρῶν κεκλῃμένου,
ἅπαντα σεισμῷ καὶ τρόμῳ κραδαίνεται·
ὣς καὶ τὸν ὄγκον τήν τ᾽ ἀνάστασιν δυοῖν
στήλαιν ἐκεῖνος, δεινὸν ἀντηρεισμένος,
ἔσφαλλ᾽, ἐκίνει· ταῖς πρόσω τε κὠπίσω
φρικταῖς διαύλων ξὺν ῥοπαῖσι νευμάτων,
πρόῤῥιζ᾽ ἑδραίων ἐξανέσπασεν βάθρων·
ἕως ἐπ᾽ οὖδας ταῖν δυοῖν βεβλημέναιν,
στέγην ἅπασαν ταῖσδ᾽ ὁμοῦ ξυνέλξατο·
ἔραζε βροντῆς ξὺν κτύπῳ φορουμένην
πᾶσιν κατ᾽ ἄκρας τοῖς ὑπαὶ καθημένοις·
ἄναξι, δεσπόταισι, δεσποίναις θ᾽ ἅμα,
ἱρεῦσι, βουλευταῖσι, τῶν εὐδαιμόνων
ἄνθει μὲν ὄλβῳ τ᾽ εὐγενῶν ἐξαιρέτῳ,
οὐ τῆσδε μοῦνον τῆς πόλεως, παντὸς δ᾽ ὁμοῦ
τῶν ἀλλοφύλων ἀστυγείτονος στρατοῦ,
Γάζανδ᾽ ἑορτῶν οὕνεκα ξυνηγμένων.
τούτων δὲ Σαμψὼν αὐτὸς ἐν μέσῳ κυρῶν
μιᾶς ἀνάγκῃ καὶ φθορᾶς μετείχετο·
κοινόν τιν᾽ αὑτοῦ δυσμενῶν τ᾽ ἔρξας φόνον.
τοὔξω δὲ πλῆθος οἷον ἦν σεσωσμένον.

ΧΟ. Ὦ βαρυτίμως ἅμα, κεὐδόξως,

τιμωρηθείς· ζήσας τε θανών θ',
ὧνπερ ὁμοίως καὶ ἐπαγγελθεὶς
ἔτυχες τοῖς σοῖς τὸ πάλαι, γεγονώς τ',
εὖ μὲν ἁπάντων ἐς τέλος ἔργων
ἐλάσας τούτων μάλα γενναίως·
ὧδ' αὐτοφόνως ἀπὸ καὶ νίκης
μετὰ τοῖς τῆς σῆς πτώμασι χειρὸς
κείμενος αὐτός· μηδὲν μὲν ἑκὼν,
ταὐτῇ δὲ βρόχων ληπτὸς ἀνάγκῃ,
τῆς ἀπλακήτοις κατὰ σοῦ ψήφοις
ἐχθροῖσιν ὁμοῦ, πότμος ἐγνώσθη·
μυρίον οἵ σοι πλῆθος ἔχοντες,
πολύ τ' αὖ πλείους
τῶν ἐν βιότῳ, περίκεινται.
Ἦ μὴν ὅτε δὴ τὤργια τά σφεων *ἡμιχ. α΄.*
ἤκμαζε, τελῶν τὰ πανηγυρικῶν·
εὖ τ' ἄρα θοινῶν, εὖ τ' ἄρ' ἑορτῶν
εἶχον ἅπαντες· πλησθέντες ὑπὲρ
κρέατος ταύρων, δημοῦ τε τράγων·
μέθυσοι λοιβαῖς δ' εἰδωλοχυτοῖς·
σφέτερον τὸ βρετῶν σέβας ὑμνοῦντες,
πρὸς τὸν ἐθάρσουν ἀντιφερίζειν,
τὸν φόβον ἡμῶν· ᾧ ζῶντι νεὼν
ἀγλαὸν ἵδρυμ' ἐπὶ Σιλώᾳ·
τότε γοῦν ἄταν τούτοις ἐπάγων,
πνεῦμ' ἀφροσύνης αὐτὸς ἐπῶρσεν.
φρένα βλαφθέντας ξὺν τάχει ἤδη
φονέα τὸν σφῶν μεταπέμψασθαί γ'·
ἴδριας οὐδὲν λιπαρὲς ὥς σφιν
τόδε τοῦ θυμοῦ καίριον ἔσται·
τὴν δ' εὐφροσύνης, τὴν πρὶν ἀγωγὴν,

ἐλπίδι θερμοὺς ἐς τέλος ἕξειν.
οὕτω δὲ βροτῶν πᾶσιν, ὅσοις δὴ
τῆς δαιμονίας μέτα τοι κατάρας,
φρενὸς ἀτηρᾶς βουλαῖσι φίλον
τὸν σφῶν ἐπὶ μὴν σπᾶσθαι ὄλεθρον·
τῆς αἰσθήσεως πάμπαν ἀμοίροις,
ἢ κᾳσθομένοις, μηδὲν δυνατοῖς
        δοκίμως κρίνειν,
    ὑπὸ τῆς ἔνδον τυφλότητος.
Αὐτὰρ ὅγ', ᾧ δῆτ' ἐχθροῖς μὲν ἰδεῖν ἡμιχ. β΄.
φλαυριζομένῳ, πάμπαν ἀχρείῳ τ',
ἐδόκει γληνῶν οὐκ ἂν ἀδέρκτων
ἔτι τὸ σβεσθὲν φῶς ἀνατέλλειν·
ἐκ τῆς εἴσω λαμπάδος αὐγαῖς
τὴν πυρόεσσαν ζωπυρεῖ ἀλκὴν,
τὸ νέον σποδιῶν ἀναλάμψασάν γ'.
ὡς δ' ἑσπερινῶν κλέμμα δρακόντων
πάντα τιθασσῶν ἔπλετ' ὀρνίθων
σκηνήματ', ἐπὶ στιξὶ πεταύρων,
κατὰ τὰς κώμας· τοῖος ἐπ' ἐχθροῖς
ἀδόκηθ' ἑστὼς, νεφελῶν τιν' ἄνευθ'
ἀετὸς ὡσεὶ 'σκηψε κεραυνόν.
ταῦτ' οὖν ἀρετή γ', ἡ σφαλλομένη
τὸ δοκεῖν, ἐχθροῖς θ' ὑπὸ χειρὸς ἔχουσ',
ἀπόρων δεινῶν τ' ἐντὸς ἀναγκῶν·
αὐτογενήτου τρόπον ὄρνιθος,
τοῦ μηδὲν ἔχειν φυντὸς ὅμοιον·
τῷ μνῆμ' Ἀράβων τευκτὸν ἐν ὕλαις·
ὁλοκαυτωθεῖσ' ὡς τυτθὸν ἔχει,
μήτρας σποδιᾶς ἀναγεννᾶται·
βλαστοῦσα πάλιν, τὰ μάλιστ' ἔρδειν

τόθ', ὅτ' ἀργῆσαι πλεῖστον ἔδοξεν.
θνητὸς δ' εἴπερ σῶμα πέφυκεν,
κλεὸς ἀθάνατος
ζήσεται ὄρνις διαπαντός.
ΜΑ. Παύσαισθε θρήνων· οὐδὲ γὰρ τανῦν γόων
εὔκαιρον οὐδὲν, εὔλογόν τ' οὐδὲν πάρα.
Σαμψὼν μὲν αὑτὸν οὐδαμῶς ἐψεύσατο·
ἡρωϊκῶς δὲ τὸν βίον διήνυσεν,
ἡρωϊκῶς τ' ἄρ' ἐγκαταστρέψας ἔχει.
ἐχθροῖς δὲ μηδὲν ἐνδεὴς τιμωρίας,
λύπης ἐς ὥρας κεὶς νέωτ' ἐπήρκεσεν
πᾶσιν τὸ πλῆθος, σπέρματος μὲν Χάφθορος
ὅπου ποτ' οὖσι, τὴν Παλαιστίνην κάτα.
τῷ δ' Ἰσραῆλι στέφανον εὐκλείας μέγαν,
τοὐλεύθερόν τ' ἄρ'· εἴ τις οὖν εὐκαιρίας
τόλμα σφιν ἔσται τῆς γε νῦν δεδραγμένη.
πατρὸς δ' ἐς οἴκους μνῆμ' ἀείμνηστον λιπών·
ἐν δ' αὖ τὸ πάντων ὡς μεθ' ἡδονῆς μαθεῖν,
τῷ Θεῷ μὲν οὔπω, μηδὲ τοῖς, λελειμμένος,
λαβὼν δ' ἁπάντων ἐς τέλος ξυνεργάτην.
ἆρ' οὖν τι κλαυθμῶν, ἆρα δακρύων τόδε
τοὔργον κατέστη; μή τι κόψασθαι πρέπει,
ὡς δὴ 'πὶ φλαύροις, μηδενός τ' ἂν ἀξίοις,
ἢ καὶ δι' αἰσχρῶν, καὶ κάκης εἰργασμένοις;
ὅπου τὰ πρῶτα τῶν καλῶν τε κἀγαθῶν
πάρεσθ' ἅπαντα, καί τις ἐννοούμενος
τῶν πρόσθε τοῦ ζῆν εὐκλεῶς πεπραγμένων,
τὰ τοῦδε πότμου πάντ' ἂν εὐθύμως φέροι.
τὸ πτῶμα δ' ἡμεῖς, ἐν μέσοις προκείμενον
νεκροῖσιν, ἐχθρῶν τῷ φόνῳ βεβαμμένον,
εὕρωμεν ἤδη· κἀκ φονῆς ἀνηρμένον,

λούσωμεν ἁγνοῖς ῥευμάτων πλυντηρίοις,
ποίαις τε θρόμβων αἵματος καθαρσίαις.
οὐ μὴ δὲ τούτοις ἐμποδὼν Γάζα σταθῇ,
πράσσουσ᾽ ἃ πράσσει γ᾽· ἐν δὲ τοῖσδε, τῶν ἐμῶν
ξύμπαντας αὐτὸς ξυγγενῶν τε καὶ φίλων
κοινῇ ξυνάξω, τοῦ κομίζεσθαι πατρὸς
ἐμοὶ πρὸς οἴκους τοῦ τέκνου τὰ λείψανα·
σιγῇ τε κόσμῳ θ᾽, ὥστε κήδεσιν πρέπει,
ἡμῶν προπομπῶν, ἐς ταφὴν στελούμενα.
ἐκεῖ δὲ τευκτῶν σημάτων τυχήσεται·
δάφνην μὲν ἀμφὶς, καὶ φυτευθέντων ἔχων
φοίνικος ἐρνῶν εὐθαλῆ βλαστήματα·
τῆς πρὶν δ᾽ ἑκάστων ἱστορημένην στίχοις
ἀλκῆς τροπαίων, ἢ γλυκυφθόγγων μελῶν
μνήμην ἐν ᾠδαῖς, ἢ᾽ν λόγοις σεσωσμένην.
ἐνταῦθα πᾶς τις τῶν νέων φοιτῶν ἀεὶ,
ἀρετήν τ᾽ ἐκείνου καὶ βίαν θεώμενος,
καλῶν ἐραστὴς κἀγαθῶν γενήσεται,
Σαμψῶνος εἴσω ζῆλον ἐκπυρούμενος.
αὕτως δ᾽ ἑορταῖς, παρθένοις τὰ φίλτατα
μόχθων τάδ᾽ ἔσται, ποικίλων ἀγάλμασιν
Σαμψῶνος ἀνθέων τὸν τάφον στέφειν ἀεί·
τοῦ πάντ᾽ ἀρίστου, πάντα τ᾽ εὐτυχεστάτου,
εἰ μή τι νυμφῶν καὶ γάμων ἐσφαλμένου,
ἁλόντος ἐχθροῖς, κώμματων τητωμένου.

ΧΟ. *Τῶν δαιμονίων ὀρθῶς μὲν ἅπαντ᾽,*
ἐν δὲ τελευτῇ βέλτιστ᾽ ἀπέβη·
καίπερ γνώμαις ταῖς ἡμετέραις
τί ποθ᾽ ὑψίστης μῆτις σοφίας
ἐκτολυπεύσασ᾽ ἐς τέλος ἕξει,
πάντ᾽ ἀνίχνευτον φαίνεται εἶναι.

καὶ δὴ πολλάκις ἔσθ' ὅτε δόξας
ὁ Θεὸς στρέψας τὸ πρόσωπον ἔχειν,
ἀδόκητ' ἤδη πάλιν ἐμβλέψει.
τοιάδε καὶ νῦν τὸν πρόμον αὑτοῦ
πιστὸν, ἀληθῆ τ' ᾠκειώσατο·
λαμπρὰν παρέχων τότε μαρτυρίαν,
ὅτ' ἄρα χρεί' ἦν· ἧς ὕπο Γάζῃ
πάρα μὲν θρηνεῖν, πᾶσι θ', ὅσοι δὴ
ξυναθροισθέντες κατέχουσι μάτην
τῶν οὐρανίων
δόγματα βουλῶν ἀκάθεκτα.
Ἦ *μὴν δούλων τινὰ τῶν αὑτοῦ*
μεγάλων τούτων ἐκ ξυντυχιῶν
ἀπέλυσ' ἤδη, σοφίας τε νέαν
καὶ ἀληθείας προκοπὴν μὲν ἔχειν,
ἔξω δὲ πάθους τἀπαραμύθου,
τῆς εὐφροσύνης
μηδὲν ἀμοιρεῖν ἀσαλεύτου.

ΚΩΜΟΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΤΟ ΠΝΕΥΜΑ, Ο ΚΑΙ ΘΥΡΣΙΣ.

ΚΩΜΟΣ.

Η ΔΕΣΠΟΙΝΑ.

ΑΔΕΛΦΟΣ Ο ΜΕΙΖΩΝ.

ΑΔΕΛΦΟΣ Ο ΝΕΩΤΕΡΟΣ.

ΣΑΒΡΙΝΑ.

Κωφὰ Πρόσωπα, οἱ περὶ Κῶμον· ὁ πατὴρ καὶ ἡ μητὴρ τῶν τριῶν ἀδελφῶν· ποιμένες· καὶ οἱ λοιποί.

Προλογίζει δὲ τὸ Πνεῦμα.

Κ Ω Μ Ο Σ.

ΤΟ ΠΝΕΥΜΑ.

῾ΗΜΙΝ παρ᾽ αὐλῇ Ζηνὸς ἵδρυται δόμος,
ἀστερόεν οὖδας· τῇδε καὶ τὰ πνευμάτων,
τῶν αἰὲν ὄντων, λάμπρ᾽ ἔχει σφαιρώματα,
φαιδροῖς γαλήνης τ᾽ εὐδίας τ᾽ ἐν ἤθεσιν,
καπνοῦ δ᾽ ἄνευθε, καὶ σάλου πολλοῦ κνέφους
τούτου, βροτοῖσι τῆς χθονὸς καλουμένου.
ἔνθ᾽ ὡς στενώποις τοῦ ξύλου τεθλιμμένοι,
πονοῦσι τοῦ ζῆν οἱ ταλαίπωροι χάριν,
σμικραῖς ἐπί ῥοπαῖσιν αἰωρουμένου·
οὐδὲν φρονοῦντες σεμνὸν, οὐδ᾽ ᾐσθημένοι
ὧν τοῖς ἑαυτῆς ἡ ᾽ρετὴ πιστοῖς φιλοις
προὔθηκε, θνητῶν ἐξαφειμένοις μελῶν,
ἕδραις ἐν ἁγναῖς, δαιμόνων θείῳ χορῷ.
ἀλλ᾽ ἔστιν οἷς δὴ βημάτων ὀρθουμένοις,
θάρσος δικαίᾳ χειρὶ τῆς κλῃδὸς θιγεῖν,
ὑφ᾽ ἧς ἀγήρως οἴγεται χρόνου νεώς.
πρὸς τούσδ᾽ ἀπεστάλημεν· οὐκ ἂν ἄσπιλα
τλαντὲς μιῆναι τοὐρανοῦ πεπλώματα,
κηλῖσιν ἀτμῶν τῶνδε τῆς ἁμαρτίας,
εἰ μὴ δι᾽ αὐτούς· νῦν δὲ τὰν χερσὶν μέλοι.
῾Ο γὰρ Ποσειδῶν, τοῦ τ᾽ ἀνωτέρω Διὸς,
καὶ τοῦ κάτωθεν, ἐν μέσῳ κλῆρον σπάσας,

πρὸς τοῖς θαλάσσης πᾶσιν ἁλμηροῖς βυθοῖς,
παλιῤῥόοις τε ναμάτων διεκπλόοις,
νήσων κατέστη δεσπότης περιῤῥύτων,
ὅσαι, λιθῶν ὣς πολυτελῶν ποικίλματα,
στίλβουσι κόλποις τοῖς ἀκοσμήτοις ἁλός.
τούτων ὑπάρχους τῶν ὑπευθύνων θεῶν
ἀεί τινάς γ' ἵστησιν· ἠξιωμένους
σαπφειρινόν τε στέμμα, καὶ σκῆπτρον φορεῖν
τῶν μειόνων τί γ'· ἓν δὲ κάλλιστον λάχος,
πάντων μέγιστον, τετραχῇ διώρισεν,
τοῖς κυανόθριξι δαίμοσιν μέρος λαβεῖν.
τούτου τὰ πρὸς δυσμαῖσιν ἡλίου νέμων
ταγός τις, ἰσχὺν κἀρετὴν φερέγγυος,
ἀρχαῖον ἔθνος καὶ δορίκλυτον κρατῶν
ἄγει δι' αἰδοῦς, λήματος πληρούμενον.
οὗ καὶ τὰ τέκνα, βασιλικῶν παιδευμάτων
καλῶς προαχθέντ', οἴκαδ' ἔρχεται τανῦν,
δόξης θεωροὶ καὶ νέων σκήπτρων πατρός.
ἀλλ' ἐν γὰρ ὕλῃ τῇδε τῇ πολυπλόκῳ
πορευτέα σφᾶς· ἧς ὑπώροφος σκότος,
φρικώδεσίν τε καὶ βαθυσκίοις κόμαις,
ὁδοιπόροις πλάνημα καὶ πολὺς φόβος.
κεἰ μὴ προπομποὶ Ζηνὸς ἐκ προθυμίας
ἡμεῖς ἀπεστάλημεν· ἦν ἂν ἐνθάδε
δεινόν τι τοῖς γε τηλίκοις πλανωμένοις.
ἣν δ' οὐ παλαιῶν οὔτις, οὐ νεωτέρων,
αὐλαῖσιν ἢ σκιαῖσιν οὐδέπω τραφεὶς,
ηὔλησεν ἢ 'μύθευσε τοῦ δεινοῦ φύσιν·
ταύτην ἂν ἡμεῖς τοῖς θέλουσιν ἱστορεῖν
λέγοιμεν ἤδη. Βρόμιος, οὐκ τῆς ἀμπέλου
τοῦ πόλλ' ἐνυβρισθέντος ἡδὺ φάρμακον

θλίψας ποτ' οἴνου πρῶτος· ὡς Τυρσηνικῶν
μορφὰς μετέβαλε ναυβατῶν, φορούμενος
εἰκῆ κατ' ἀκτὰς, τῆς κόρης τῆς ἡλίου
προσέσχε νήσῳ· τῆς κόρης τῆς ἡλίου
ξένος τίς ἐστιν; ἧς πεφαρμακωμένου
κρατῆρος ὅστις ἂν πίοι γ', ἀνάστασιν
τὴν πρὶν στερηθεὶς, κάππεσ' ἐς χοίρων δέμας.
ἣ δῆτ' ἐν οἴκοις τὸν θεὸν δεδεγμένη,
χὤραῖον ἄνθος, βοστρύχοις γαυρούμενον,
λαβοῦσ' ἐς ὄψιν, οὐ πρὶν ἐξαφίετο,
πρὶν ἢ τεκεῖν οἷ γ' υἱὸν, ᾧ πατρὸς μὲν ἦν
τὸ πολὺ, πλέον δὲ μητρὸς ἐκμεμαγμένον.
τόνδ' ὡς ἐθρέψαθ' ἡ θεὰ, Κῶμον καλεῖν,
ἥβης τελείας τὴν χάριν καρπούμενος,
Ἰβηρικῇ τε Κελτικῇ τ' ἀναστραφεὶς,
χρόνῳ ποθ' ὕλης φοβερὸν ἐξελέξατο
κρυπτήριον τῆσδ'· ἐς βαθύν τ' ἐσδὺς σκότον,
αὐτοῦ τὸ δεινὸν μητρὸς ἐκνικᾷ τέχνης.
ὁδοιπόροις γὰρ πᾶσιν ἐν κρυσταλλίνοις
τὸ πῶμ' ὀρέξει, τεύχεσιν κυκώμενον,
ὡς δὴ κόπων τι καυμάτων τ' ἄκος διδούς.
ὅσοι δέ νιν λάβωσι· τῶν πλείστων δ' ἂν ἦν
φῦλον τόδ', εἰκῆ τῷ πόθῳ νικωμένων·
τούτοις τὸ μὲν πρόσωπον, ἔνθα τῶν θεῶν
ἀνθρωπίναις μορφαῖσιν ἐκπρέπει τύπος·
θηρῶν τιν' εὐθὺς ἀμφιδύσεται ξένην
ἄρκτων πρόσοψιν, ἢ λέοντος, ἢ λύκων,
πάρδων θ', ὑῶν τε, καὶ γενειητῶν τράγων·
τὰ δ' ἄλλ' ὅμοια καὶ τὸ πρὶν καθίσταται.
οἱ δ' ἐς τοσοῦτον ἤλασαν τοῦ δυστυχοῦς,
διαστραφέντες, οὐδ' ἅπαξ νοούμενοι

αὐτοὶ τό γ' αὐτῶν αἶσχος, ὥστ' εὐμορφίαν
μείζω τιν', ἢ τὸ πρόσθε, κομποῦσιν λαβεῖν·
φίλων λαθόμενοι καὶ πάτρας· τῆς δ' ἡδονῆς
συφορβίοισιν ἐμβεβορβορωμένοι.
ἀνθ' ὧν, ὅταν τις Ζηνὸς ὑψίστου φίλων
λοχμῶν διέλθῃ τῶνδε κινδύνου πλέων,
τούτοις μὲν ἄστρων ἐμφερεῖς πεσήμασιν
ᾄξαντες, ὡς τανῦν, ἀπ' οὐρανοῦ κάτω,
πάρεσμεν ἡμεῖς, τῆς ὁδηγίας χάριν.
πρῶτον δὲ δεῖ με τῶν παρ' αἰθέρος πέπλων,
ὑφάσματος τοῦδ' Ἴριδος, γυμνούμενον,
ἐσθῆτα χὠμοίωμα βουκόλων λαβεῖν,
ἑνὸς μελάθροις τῶν πέλας λατρεύμασιν
ὑπηρετούντων· εἴ τις εὑρεθήσεται
αὐλῶν τ' ἐπῳδαῖς, καὶ γλυκυφθόγγων μελῶν,
δεινὴν γαληνοῦν πνευμάτων τρικυμίαν,
ὑλῶν τε σεισμὸν εὐνάσαι (μὲν οὖν σοφὸς,
ἄλλως τε πιστός· ὡς δ' ἐν ὄρεσι πλησίον
ἐπιστατῶν ποίμναισι, προσφορώτατος
τοῦ νῦν παρόντος ξυλλαβεῖν ἡμῖν χρέους.
ἀλλ' ἐχθρὸς ἤδη γάρ τις ἐμπίπτει ψόφος,
σιγᾶν προσήκει, κἀέρος δῦναι σκότον.

ΚΩΜΟΣ.

Ὁ μὲν ἀγγέλλων ποιμέσιν αὐλῆς
ὥραν ἀστὴρ, πόλον οὐράνιον
λαμπρὸς κατέχει· τὸ δ' ὑπαξόνιον
καῦμα τὸ χρυσοῦν ἤματος ἅρμα
ψύχει λούτροις ἐν Ἀτλαντείοις·
βέλεσίν τ' ἐφορῶν ἀνακαμπτομένοις
τὴν ἐκ κορυφῆς ἥλιος ὄρφνην,
σπεύδει θαλάμων ἐντὸς ἑῴων,

ἑτέραν ἤδη
νύσσαν ἱκανὼν, καταλῦσαι.
Νῦν μὲν ἄρ' ὥρα δαιτὸς ἔχεσθαι·
χῶρα δ' ἥβης ἔστ' ἀπολαῦσαι
χαίρετε κῶμοι τῶν νυκτιπόλων·
χαῖρε σίκιννις· μεθύσοις ἤδη
κώλοις σφαλερῶς στηριζομένη·
πᾶς δέ τις οἴνῳ καταβαπτόμενον,
πᾶς τε μύροισιν,
ῥοδόεν πλεγμα στεφανούσθω.
Νῦν γὰρ στερεᾶς δεινόν ἀνάγκης
πᾶν ἐνὶ λέκτροις· νῦν δ' ἐπίπληξις,
καὶ νουθεσίαι δριμύ γ' ὁρῶσαι,
γῆράς τ' ἐγκρατὲς, οὐδὲν ἂν ἥβῃ
ξυγγνωσόμενον παραπαισάσῃ,
τοῖς σωφροσύνης
δόγμασιν αὐτοῖς καθύπνωκεν.
Ἡμεῖς δ', οἷς δὴ πυρὸς οὐρανίου
πλέον ἔστακται· χορὸν ἀστεροέντ'
ἐκμιμούμεθα, τὸν νυκτεριναῖς
φυλακαῖς μηνῶν ἠδ' ἐνιαυτῶν
κύκλον ἑλίσσοντ',
ὠκυφόρητον διαπαντός.
Νῦν μὲν ἐν ὅρμοις πᾶσι θαλάσσης,
πᾶσι τε κόλποις· λεπιδοπτέρυγον
γένος ἰχθυόεν, πρὸς μαρμαρυγὴν
Φοίβης σκιρτῶν, φρικὸς κόρδαχ'
ὑποδινεῖται· κατὰ δ' αἰγιαλοὺς
ἐλαφρὸν Λεμύρων φῦλον ἀναιδῶν,
ξὺν μορφιδίοις τῶν Λεμυρισκῶν,
περινοστοῦσιν· παρὰ δὲ σκολιοῖς

τραχὺ γελώντων ῥείθροις ὀχετῶν,
παρά τε κρουνοῖς, Δρυάδων εἶλαι,
τῆς κληματίδος κομψὸν ἔχουσαι
διάδημα κόμαις,
ξύν τ' εὐφροσύνῃ ξύν τε χορείᾳ
πάννυχον ἤδη διάγουσιν.
Τί γὰρ ἂν λέκτρων νυκτὶ προσήκοι,
τί δὲ τῆς εὐνῆς; τῶν τερπνοτέρων
ἀποδρέψασθαι νυκτὶ πρόσεστιν.
νῦν γὰρ ἀφ' ὕπνων ἀνεγειρομένη
Κύπρις ἐγείρει καὶ τὸν Ἔρωτα·
ξὺν τοῖσδ' ἱεροῖς ἐξηγούμενον
ἡμῖν, ὧν δὴ καιρὸς ἐνέστηχ'.
ὡς ἡμερινῶν ἀπάνευθ' αὐγῶν
οὐκ ἂν ἁμάρτοις· καὶ ἀβελτέριας
ταύτης παραβάντ'
οὐ μὴ προδιδῷ σκότος οὐδέν.
Χαῖρε Κοτυττοῖ· τῶν νυκτερινῶν
προστάτις ἔργων· χαῖρ' ἀνοράτων
ἔφορος τελετῶν· ἧς μὲν κρυφία
μεσάταις ἥφθη λαμπὰς ἐν ὄρφναις,
τότε δ' ἐξ ἀδύτων μόνον ἠκούσθη
τοὔνομα, μήτρας ὅτ' ἀπὸ Στυγίας,
τῶν δεινοτάτων Ἐρέβου τε μυχῶν,
σκότος ἠρεύχθη,
πᾶν ἀπαλεῖψαι τὸ φαεινόν.
Διὰ τῶν νεφελῶν, ξυνέριθ' Ἑκάτης,
ἡνιοχεύουσ', ἐπέχοις ἤδη
φαιοχαλίνου κύκλον ὀχήματος,
ὡς τοῖσδ' ἱεροῖς, τοῖς τε προπομποῖς
ἡμὶν ἀρήξῃς, τοῖσι δί' ὅρκων

σέβας αὐξήσειν τὸ σὸν ἐλθοῦσιν·
τῶν σῶν τε τελῶν δὸς ἐπ' ἐσχατίας
μέχρις ἐξελάσαι, κοὐδὲν προλιπεῖν
ἡμιτέλεστον, πρὶν ἂν ἢ 'κ θυρίδων
τῆς ἐν καλύβαις 'Ινδοσκοπίας
ἦρι προκύψαν τοὔμμα τὸ φωτὸς,
τὴν κρυπτομένην ἀσχημοσύνην
καταφωρᾶσαν, γλώσσης ἀκρατὲς
Φοίβου λαλιαῖς πάντα κατείπῃ.
φέρε δὴ, χεῖρας ξυμπλεξώμεθα,
χορὸν ἀλλόκοτον
ποσὶν εὐπλίκτοις ἐλαφρίζειν.
Σῖγα· σῖγ' ἔχεσθε πάντες· ὧδε γὰρ προσέπτετο
σωφρόνων αὔρα τις ἰχνῶν, κοὐχὶ τοῦδε τοῦ χοροῦ.
εἶς δ' ἕκαστος ἐς τὰ κρυπτὰ φωλεῶν ἐκνεύσατε,
τῶνδέ που λόχοισιν ὑλῶν· μὴ τὸ πλῆθος ἐκφανὲς
τῇ 'πιούσῃ δεινὸν εἴη· παρθένων γάρ ἐστί τις,
ὡς σάφ' εἰκάσαι πάρεστι, τῆς τέχνης γεγευμένῳ·
ἥν γ' ἀπεπλάνησεν ἥ ὕλη, νυκτί ποι φορουμένην.
εἶεν· ὡς μαγευμάτων γε τῶν ξυνηθέων ἂν ᾖ
φαρμάκων θ' ὁ καιρὸς ἁμῶν· πάντα δ' ἡμῖν εὐροεῖ,
πρὸς τὸ ποιμνίου καλοῦ του δεσπόταις καθεστάναι,
οὐδὲν ἧσσον, ἢ τὸ μητρὸς οἶδά που τεθραμμένον.
εἶα δὴ, σπογγώδεσίν γε τἀέρος κολπώμασιν
τοῦτο τῶν ἐμῶν προείσθω, τὸ στεροπτικὸν τόδε·
ὡς ἂν ὄμμα πᾶν τυφλωθὲν, οὐδὲν ὑγιὲς εἰσορᾷν,
ψευδέσιν δόξαις γελασθὲν, ἐς μάτην δεδορκὸς ᾖ.
μὴ τὸ χώρας, ἢ πέπλων γε τῶν ἐμῶν τὸ βάρβαρον,
δεῖμα τῇ κόρῃ γένηται, κεὶς φυγὴν ὕποπτον ᾖ·
ἣν φυλακτέ' ἐστὶν ἡμᾶς· οὐδὲ γὰρ τοὐμοῦ τρόπου.
τοὐμὸν ὡς φίλου δοκοῦντος τοῖς κεκαλλωπισμένοις

καὶ φιλοξένοις λόγοισιν, οὗ δεὸν τεταγμένοις,
ἄκακον ἐς γενναῖον ἦθος, πῶς δοκεῖς, δεδυκέναι·
χρηστότητι περιπλοκαῖς τε τῷ δόλῳ προσηγμένον.
νῦν δ' ἄρ' ὡς σποδοῦ γε τῆσδε, τῆς μεμαγγανευμένης,
παρθένῳ τάχιστα τοὔμματ' ἀντίον βεβλήσεται·
εἴσομαι τῶν ἀβλαβῶν τις, τῶν ἀγροῖς ηὐλισμένων,
ὅν γε φειδὼ γρηγοροῦντα νυκτὸς ὧδ' ἐγύμνασεν.
ἀλλὰ γὰρ προσεγγισάσης, ἐκποδὼν μεθιστέα,
ἔνθα κεἰ τύχοι μάθοιμ' ἂν, διότι τῇδε πλάζεται.

Η ΔΕΣΠΟΙΝΑ.

Εἰ μὴ προηγητῆρος, ὡς τανῦν, μόνου
ἐψεύσμεθ' ἀκοῆς, ἦν τι δὴ κροτήματος,
ὃ κοὐ πρὸ πολλοῦ τῇδέ μοι δοκῶ κλυεῖν·
οἷός τις ἂν γένοιτο τῆς παροινίας
ὑβριστικός τε καὶ παράῤῥυθμος γέλως,
ὅταν τις αὐλὸς, ἤ τις ὀρθία δόναξ,
θυμὸν προτρέψῃ βουκόλων φυσήμασιν,
πρὸς τὴν ἄμουσον κἀκόλαστον ἡδονήν·
ποίμναις ἔπ' εὐτόκοισιν, ἢ μεστουμέναις
ἅλωσι, Πανὸς πρὸς χάριν σαυλουμένους,
καὶ θεοῖσιν, ὧν ἔδωκαν, οὐ κατ' ἀξίαν
τιμὴν νέμοντας· οὐκ ἂν ἀσμένῃ γ' ἐμοὶ
εἴη πρὸς ὕβριν, πλησμονῆς θ' ὑπερβολὴν
τοιάνδ', ἀωρὶ νυκτὸς ἐμβαλεῖν μόνῃ.
πάντως δ' ἀνάγκη· πῶς γὰρ ἄλλοθεν πόθεν,
τυφλῆς γε ταύτης καὶ πολυσχίστου πλάνης
ἐξιστορῆσαι τὴν διέξοδον πάρα ;
ἔδοξε γὰρ δὴ τοῖν κασιγνήτοιν ἐμοῖν,
κόπῳ μ' ἀπειρηκυῖαν ἐκ μήκους ὁδοῦ
ἐνταῦθα παῦσαι· πευκίνων ὑπὸ στέγην
τὴν νύκτα τούτων ἐς δεὸν πετασμάτων,

ἄξουσαν ἤδη· νῦν δ' ἐμοὶ τοῖς πλησίον
θάμνοισι φροῦδοι, μικρὸν ἐκνενευκότες,
ἀκρόδρυα ζητοῦσιν, ἢ φιλοξένων
ἄλλην τιν' ὑλῶν διψίοις παραψυχήν.
ἐκ τοῦ δ' ἐρημωθεῖσα τυγχάνω μόνη,
ἐξ οὗ, λατρείαν ὥς τις ἐς θεωρίας
ἁγνῶν κατηφὴς παρθένων κοσμουμένη,
ἡ γλαυκομίτρης ἑσπέρα τῶν ἁρμάτων
προὔκυψ' ὄπισθεν ἡλίου πανυστάτων.
καὶ νῦν, τί δὴ πράσσουσιν, ἀνθ' ὅτου δὲ μὴ
ἀνῆλθον, ὡς ᾤχοντο, θαυμάσασ' ἔχω.
οἶμαι μὲν οὖν ἔγωγε, τοῦ πρόσω ποσὶν
νείμαντας αἰεὶ, τῶν ἐς ἔμπαλιν στροφῶν
φθάσαι κλοπαίῳ τῷδε κλῃσθέντας σκότῳ.
οὐ γάρ ποτ' ὦ νὺξ, πρός τι μὴ τεχνώμενον,
τῶν σῶν ἂν ὄρφναις περιβολαῖς τε δικτύων,
ἄστρων φαεινὴ λαμπὰς ἦν κεκρυμμένη,
ἣν ἡ φύσις μὲν ἐξανῆψεν οὐρανοῦ,
ἄφθαρτον ἐγχέασα τοὐλαίου γάνος·
πλανωμένων τε καὶ μονωθέντων χάριν,
σωτῆρος ὡς τύχοιεν εἰς ὁδὸν φάους.
καὶ νῦν ὁ χῶρος, ἐξ ὅτου μὲν, οἶδ' ἐγὼ,
ἔδοξε κώμου καὶ γέλωτος ἀρτίως
τρανῶς τις ὠσὶν ἀμφικυκλοῦσθαι κτύπος·
ἐνταῦθα νυκτὸς οὐδὲν εὑρίσκω πλέον.
τί δῆτ' ἂν εἰκάσαι τις ; ἦ 'ρα μυρίων
ἔσωθε θυμοῦ νῦν ἀναμνησθεῖσ' ἔχω
δοξῶν, καλοῦντων, εἰ τύχοι, μορφωμάτων,
δεινῶν τε τῶν ξὺν νεύμασιν φαντασμάτων·
ὑφ' ὧν τὰ θνητῶν ὀνόματ' ἐκπροβάλλεται,
γλώσσαις ἀκριβῶς ἀέρος πεπλασμένα,

ἀκτῶν κατ' ἄμμους, ἢ 'πὶ ταῖς ἐρημίαις.
τοιαῖσδε μέντοι καίπερ ἠνωχλημένος
δόξαισιν ἄλλως, οὐκ ἂν ἐκπλαγεὶς ἔχοι
ὁ θυμὸς, ἁ'μπλάκητος, ᾧ παραιβάτης
ἰσχυρὸς ἡ ξύννοια συμπορεύεται.
χαίροιτ' ὀπαδοὶ, χαίρετ' ἄγγελοι δέ μοι,
λευκώλενος μὲν ἐλπὶς, ἧς μετηόροις
χρυσωπὸν αἴγλαις ἀμφιπέφρικεν πτέρον·
πίστεώς τε καθαρὸν ὄμμα· προσφιλές τ' ἐμοὶ
ἄμωμον, ἀσπίλωτον ἁγνείας δέμας.
ὡς εὖ μὲν ὑμᾶς ὀμμάτων ἐναντίον
ξύνοιδ' ἔχουσα· νῦν δέ μοι πίστις πάρα,
ὅθ' οὕνεχ' ἁ'ριστός τε χὐ'ψιστος δ' ἅμα,
ᾧ δὴ τὸ πᾶν πονηρὸν, ἐς τιμωρίαν
δίκην τε, δούλων ἐν μέρει τεταγμένον,
ὑπηρέτης πέφυκε, καὶ διάκονος·
σωτὴρ' ἂν ἐν δέοντι προὔπεμψέν τινα,
τοῦ ζῆν μὲν ἡμῖν, τοῦ καλοῦ δὲ προστάτην.
μῶν ἐσφάλημεν; ἤ τι τῶν νυκτὸς νεφῶν
προὔβαλλεν ὄρφνης ἀργυροῦν τὸ κράσπεδον;
οὐκ ἐσφάλημεν· ἦν τι τῶν νυκτὸς νεφῶν,
προβάλλον ὄρφνης ἀργυροῦν τὸ κράσπεδον,
ᾧ πλέγμαθ' ὑλῶν φῶς καταιθύσσει τάδε.
τὸ μὲν γεγωνεῖν οὐκ ἐν εὐπόρῳ γ' ἐμοὶ
πρὸς τοὺς ἀδελφούς· ἧς δ' ἄρ' οὐκ ἀμηχανῶ
μέλος προπέμψαι τοῦ προσωτάτω βοῆς,
πρὸς τήνδ' ἂν ἔλθοιμ', ὡς τὸ θάρσος ἐξάγει,
τὸ ζωπυρηθὲν καρδίας ἔσω πάλιν·
εἴη δ' ἂν αὐτοὺς πλησίον που τυγχάνειν.

ΜΟΝΩΙΔΙΑ.

Παρθέν', ὦ λιγύφωνος ἀχώ·

νυμφᾶν ὦ λιγυρωτάτα γ' ἁπασᾶν·
ἅτις ἐπὶ ῥαγμῖνι χλωρᾷ
τοῦ βραδυῤῥόου Μαιάνδρου,
εὐναῖς ἰοστίκτοις ναπᾶν·
ἔνθα πικρὸν ἔρωτος ἄλγος
ὑπόστερνον ἀεὶ τρέφοισα,
πρὸς σὲ παννυχίοις ὁμιλοῦσ'
ἰαλέμοις ἀηδὼν,
εὖ γέ πως μινύρεται·
τᾷδε κἀερίας χελώνας,
τᾶς σᾶς, ἐς θαλάμους κρυβεῖσα,
τᾶν λιγυρῶν φωνᾶν μυχοῖς
ἀπροσβάτοις νένασσαι.
Πῶς ξυναντιάσαισα δή που
ἔχοις ἂν χαρίεσσαν ἐννέπειν μοι
τὰν διδύμοιν ὁμαιμόνοιν θ',
ὧδέ πως ἀποπλανεῖσαν,
ξυνωρίδ' οἵαν ἁλίκοιν
Ναρκίσσοιο μάλιστα σαυτᾶς ;
εἴποις, ὦ πότνια γλυκείας
τᾶς ὀαριστύος, ἃν τέκνωσε σφαῖρα·
πάντως γὰρ ἐγκρύψαισ' ἔχεις
ἀνθινῶν νιν σπεῶν λόχοις.
οὕτω δ' οὐρανίας μέτοικος
ἄστρων ἁρμονίας τυχοίης·
σαῖς χάρισίν τ' ἀχήμασίν θ'
ἅπαν τὸ τερπνὸν αὔξειν.

ΚΩ. Πῶς ἄν τι θνητῶν τῶν χθονὸς φυραμάτων
θεῖόν ποθ' οὕτω ψυγαγωγὸν ἐκπνέοι ;
ἆρ' οὖν τί γ' ὅσιον στέρνον εἴληχεν τόδε,
ὃς καὶ δί' αὐρῶν ξὺν χαρᾷ κινουμένων,

δηλοῖ τὸ κρυπτὸν αὐτὸς οἰκητήριον ;
ὡς ἡδὺ σιγῆς, νυκτὸς ἐς κενὸν στέγος,
μετηόροις ῥιπαῖσιν ἠλαφρίζετο·
ἀγχιστρόφοις τε μορφνὸν εὐφρόνης πτέρον
θέλκτροις γλυκειῶν ψηλαφῆσαν ἀμβολῶν,
τοῦ χνοῦ τὸ τραχὺ προσγελᾷν ἠνάγκασεν.
ἤδη μὲν οὖν ἔγωγε μέμνημαι θάμα
μητρός τε Κίρκης, τῶν τε Σειρήνων κλυὼν
τρισσῶν ἀοιδῶν· ὧν γε, Ναιάδων μέτα,
κόλποις τὸ πυκνὸν ἄνθος ἐστολισμένων,
ποὰς λεγουσῶν, κοὐκ ἂν ἀβλαβῶν τομὰς
ῥιζῶν, λύγροισι φαρμάκοις μεμιγμένων,
ψυχὴν ἂν ᾠδῶν ἥρπασεν κηλήματα,
θείων τ' ἐνείλησ' ἀγκάλαισι κωμάτων.
Σκύλλης τ' ἂν ὄμμα δακρύοις ἐτήκετο,
αὐτοῖς πρὸς ἀκοὴν κυμάτων ὑλάγμασι
κατασταλείσης· τῆς Χαρυβδείας τ' ὀπὸς
ὑπεξεθρύλλιζ' ἡδονῆς τι μαλθακόν.
αὗταί γε τὴν αἴσθησιν εἰς ὕπνον γλυκὺν
προὔβαλλον, οὐκ ἄκουσαν· ὥστ' ἐν ἐκστάσει
αὐτὴν ἑαυτῆς τέρψεως λεληθέναι.
ἀλλ' οὔ τί πω τοιάνδε τὴν ὑπερβολὴν
τῆς σωφρονούσης καὶ καθεστώσης χαρᾶς,
ξύνοιδ' ἐφησθεὶς, ὡς τόδ' ὀρθίων μελῶν
διεπτοήθην ἁγνὸν ἀβλαβὲς βέλος,
τῇ ξυμπαθείᾳ καρδίας ἱκνούμενον.
ἆρ' οὐ τοιᾶσδε τῆς ξυναρξούσης ἐμοὶ
χρείαν ἔχοιμ' ἄν ; ἆρα μὴ προσβλητέα
λόγοις ἂν εἴη ; χαῖρε, τῶν ἔξω γέ μοι
τί θαυμάτων χρῆμ'· οὐ γὰρ οὐδὲ βαρβάρων
τοὔργον τόδ' ὑλῶν, κάλλος ἐκθρέψαι τὸ σὸν,

εἰ μή τι θεῶν τού γ᾽· ἢ νεών περ ἀγρόθι,
ξὺν Πανὶ, τούτων τυγχάνεις ἀνακτόρων·
ὑπέρ τε χλωρῶν τῶνδε τῶν καρηάτων,
τἄστοργον ἀτμῶν εὐλογοῦσα πᾶν κρύος
ᾄδουσ᾽ ἀπαυδᾷς· χὤτι πρὸς βλάβην φέροι,
τὸ μὴ τελείαις εὐσθενεῖν ἀναδρομαῖς.
Η Δ. Ὦ ποιμὲν, εἰ καὶ τοῦ φιλανθρώπου χάριν
ἄμεμπτος εἴης· ἀλλὰ τὸ χρηστὸν λόγων
ἄκαιρον ἄλλως, οὐδὲν οἰκειούμενον,
ἥγου, προθύμων ἤν τι μὴ τύχῃ φρενῶν.
ἐγὼ γὰρ οὐ κόμποισιν, ἀλλὰ συζύγων
τῶν πρίν ποτ᾽ ὄντων, νῦν δέ ποι χωρίς γ᾽ ἐμοῦ
διασπαρέντων, τὴν πάλαι γ᾽ ὁμιλίαν
σπεύδουσ᾽ ἀνευρεῖν, ἐν βρύοισι κειμένην
ἤγειρον ἠχώ γ᾽· εἴ τί πως τἀμηχάνου
λύσιν φέροι μοί γ᾽ ἡ καλὴ σπεῶν ἄπο.
ΚΩ. Τύχῃ δὲ ποίᾳ συζύγων λείπῃ, γύναι;
Η Δ. Σκότῳ τε, χύλῶν τῶνδ᾽ ἀνηρίθμοις πλοκαῖς.
ΚΩ. Πῶς δ᾽ ἂν τόδ᾽ ἐγγὺς κειμένων σ᾽ ἀποσπάσαι;
Η Δ. Ὤιχοντ᾽, ἐν εὐναῖς τῇδε παύσαντες χλόης.
ΚΩ. Προδόντες, ἢ ᾽μελοῦντες, ἢ τί δή ποτε;
Η Δ. Ζητεῖν τι δίψης τῶν κάτω ναπῶν ἄκος.
ΚΩ. Τὸ σὸν δὲ κάλλος ἁρπαγαῖς δόντες, γύναι.
Η Δ. Καὶ γὰρ δύ᾽ ἤστην· ἐν βραχεῖ δ᾽ ὑπέστρεφον.
ΚΩ. Τάχ᾽ ἂν φθασάσης νυκτὸς ἦν ἀμήχανον.
Η Δ. Ὡς εὐστόχησας, τοὐμὸν εἰκάσας κακόν.
ΚΩ. Ἆρ᾽ οὖν τι μᾶλλον τῆσδ᾽ ἂν ἠλγύνθης κλοπῆς;
Η Δ. Ἀνάδελφος ἦ τἄν, εἴ τι τῶνδέ γ᾽ ἤμπλακον.
ΚΩ. Ἄνθος δ᾽ ἀκμαίων, ἢ νεαζόντων ἔτι;
Η Δ. Οὐ μᾶλλον Ἥβης ἐχνόαζε χείλεσιν.
ΚΩ. Καὶ μὴν δύ᾽ αὐτὸς οἶδά που μαθών τινας,

οἵους σύ γ᾽ εἶπας· ἦμος αὐλάκων θ᾽ ὁ βοῦς
ζυγῶν τ᾽ ἀπολυθεὶς, ξὺν παραιωρήμασιν
ὅπλων βοείων, πρὸς σταθμοὺς ἐνίσσετο·
δείπνου τ᾽ ἐς ὥραν οὐργάτης ὡπλίζετο.
ἐνταῦθα δ᾽ εἶδον, οὗπερ ἀμπέλων ὕπο
τὰ βαιὰ ταῦτα γηλόφων σκιάζεται·
οὗ δὴ κορύμβων τ᾽ οἰνάρων θ᾽ ὑπὸ σκέπην,
ἡβῶντα κάρπον ἐκτρυγῶντες ἐς χέρας,
κλάδους ἐγύμνουν· θαῦμα δ᾽ ἦν ἔμοιγ᾽ ὁρᾷν·
οὐ γὰρ φυή σφιν, οὐδ᾽ ἀνάστασις, γύναι,
οὐδέν τι θνητοῖς ἔπρεπεν μορφώμασιν·
ἀλλ᾽ οἷ᾽ ἂν εἴη δαιμόνων τεχνήματα,
αἴθρης τε φαιδραὶ τῆς ἀκηράτου κτίσεις,
ταῖς ἴριδος μὲν ἐνδιαιτᾶσθαι χρόαις,
τερπνήν τε πλεκτῶν παιδιὰν ἔχειν νεφῶν.
τοιοῖσδ᾽ ἐπελθὼν, σῖγ᾽ ἔχων, ἐθαύμασα,
καὶ προσκυνήσας ἔρχομαι, γύναι, πάλιν.
εἰ τούσδ᾽ ἐρευνᾷς, οὐρανόνδ᾽ ἄν μοι προβὰς
δοκοῖμ᾽, ὁδηγῶν ταῦτα τῶν ζητημάτων.
ΗΔ. *Ὦ λῷστε, πῶς δ᾽ οὖν τῆσδε συντομώτατα*
ὁδοῦ τύχωμεν; ΚΩ. *Εἰ πρὸς ἑσπέραν ἀεὶ*
βαίνουσα δρυμῶν, οὐκ ἂν ἀλλαχοῦ τράπῃ.
ΗΔ. *Ἀλλ᾽ ἐν τοσαύτῃ τοῦ φάους, ὅσην βλέπεις*
τὴν ὑστέρησιν, τῆσδέ γ᾽, ὦ ξέν᾽, εὐστοχεῖν,
σοφοῦ δέοιτ᾽ ἂν, κἀπὶ γῆς ἠσκημένου
ξυνεκκομίζειν τοῖς ὁδοιπόροις πλάνας.
εἰ μὴ προπομπῶν οὐκ ἀπείρων τις τύχοι.
ΚΩ. *Ἐμοὶ μὲν, ἔκ τε τοῦ καθημέραν βίου,*
καὶ τῶν ξυνηθῶν γειτονήματος πόνων,
ἄγνωστον οὐδὲν, οὐδὲ μὴ 'στορημένον
ὑλῶν ὑπάρχει τῶνδε μυρίου βάθους·

χλωρῶν θ' ἑλιγμὸν πάντ' ἀνιχνεύειν στίβων,
καὶ τῶν λοχμωδῶν ἐκπερᾶν μυχῶν πόδα.
κεἴ τις προπομπῶν τῶνδε σῶν, ἀποζυγεὶς,
σκηναῖσι τούτων εἰσέτ' εὔνασται σκιῶν·
οὐ μή ποτ' Ἠοῦς ὄμμα τοὐρθρινὸν φθάσει
ἐγρηγορῆσαν· οὐδὲ τῶν χαμευνάδων
ἑῷ' ἐγεῖραν φθέγματ' ὀρνίθων τινός·
πρὶν ἢ σάφ' εἰδὼς πάντα σοί γ' ἀπαγγελεῖν.
ἄλλως τε χὼς ἂν, εἰ δέοι, πρὸς οἰκιῶν
εὔπιστά γ' εἰ καὶ σμίκρ' ὅμως φρουρήματα,
ἡγοίμεθ' ἡμεῖς· ἔνθα τοῦ μὲν ἀσφαλοῦς
θαρσῇς ἂν οὕνεχ'· ἕως τί γ' ἐξευρεῖν πλέον.

ΗΔ. Ὦ ποιμὲν, οὐ γὰρ σὴν ἀναίνεσθαι πρέπει
χάριν, δικαίων γ' ἐκ φρενῶν ὁρμωμένην.
ἐπεὶ ταπειναῖς τοῦτο τῶν φιλοξένων
χἀπλῶν στέγαισιν, αἰθάλῳ μεμιγμένον,
εὕροις ἂν, ἢ 'υλὰς τοῖς ἐνοικοῦσίν γ', ὅπου
δίκαι' ἂν εἶχε πλεῖον ἐντεθραμμένον·
τοῖς χρυσοπάστοις, πορφυροστρώτοις δόμοις.
ὡς οὐ δύσελπις οὐκ ἂν ἀλλαχοῦ ποτε
πράξουσα μᾶλλον, οὐδ' ἐπισφαλέστερα,
οὐ μή τι τούτων τῶν τόπων ἀνθέξομαι.
ἄγοις με, ποιμέν· καὶ σὺ δὴ, τὸ πάνθ' ὁρῶν,
πρόσβλεψον ὄμμα· κεἴ τι πειρασμοῦ νοεῖς,
οὐ μὴ τόδ' ἀμοῦ τἀσθενοῦς ὑπερδράμῃ.

Ο ΜΕΙΖΩΝ ΑΔΕΛΦΟΣ.

Ἕως ποτ' ἄστρα, ταῦτα τἀμαυρώματα
αἰγλῶν ἀνέξεσθ'; ἥ τε τοῖς ὁδοιπόρων
χαίρουσα Φοίβη δεξιώμασίν ποτε,
νεφῶν ὀκνήσεις σῶν δι' ἠλέκτρου φάος
λάμψαι προσώπων, ἐκβαλοῦσα τῶν θρόνων

τὴν ἐνθάδ' ἀρχὴν τῆς πάλαι τυραννίδος,
δισσοῖς σκότων τε καὶ σκιῶν σκήπτροις, χάους ;
εἰ δ' οὖν καθ' ὑμῶν, τοὐνδίκου νυκτὸς κράτους,
ἀτμῶν μέλαινα πυκνότης καθύβρισεν·
πῶς δή τις, εἰ καὶ πηλίνων ἀπὸ στεγῶν,
λύχνος προφαίνῃ καιρίαν θρυαλλίδα,
πρόσωθε θυρίδων μακρὸν ὀρθώσας βέλος ;
οὐχ ἧσσον ἡμῖν γ' Ἑσπέρου φιλούμενον,
ἢ τῆς Κυνείας τῇ Τύρῳ γ' Οὐρᾶς σέβους.

Ο ΝΕΩΤΕΡΟΣ ΑΔΕΛΦΟΣ.

Εἰ δ' αὖ τοιούτων εὐτυχεῖν τοῖς ὄμμασιν
οὐκ ἔστι, πῶς γοῦν ἤ τις ἐμπίπτῃ ψόφος
χαράκων ἔσωθε ποιμνίων βληχωμένων·
ἤ του δόναξι βουκόλων συρίγματος·
ἤ του θυρωρῶν ἁρπάσαι ποππυσμάτων·
ἢ καὶ γυναιξὶν εὐπτέροις ἀλεκτόρων,
κωδωνίσαντος εὐτρόχους νυκτὸς κύκλους ;
εἰ γοῦν τὸ τοιόνδ' ἕν τι πρὸς τὰ νῦν τύχοι,
σμικρὸν μὲν ἦν ἂν τἀπόρου λυτήριον,
φύλλων τοσαύταις ἄρκυσιν κεκλῃμένοις.
ἀλλ' ὦ ταλαίνης ἀθλίας τε παρθένου·
ἡμῶν δ' ἀδελφῆς· τῆς ὀλωλυίας τανῦν·
τί δὴ πέπραγε· ποῦ δὲ νῷν ἀλωμένη
παχνῶν σκέπην τιν', ἢ δρόσων εὑρήσεται ;
στείβουσ' ἄκανθαν, μυρίαν τ' ἀτράκτυλιν.
τάχ' ἂν ξυνήθων ἀντὶ τῶν χλιδημάτων,
σκληρῶν ἐπ' ὀχθῶν κρᾶτ' ἔχοι 'πικείμενον·
ἢ τραχυφλοίων ἐγκλιθεῖσά τῳ δρυῶν,
ἀγωνιῶσα δῆτά γ', ὀρθοῦται δέμας.
ἦ μὴν παρόντων ἐξ ὑπερβολῆς κακῶν,
φόβοις ἀλύει, πάμπαν ἐκπεπληγμένη·

εἰ καὶ, πρὶν ἀμὸν τοὔπος ἐκρίψαι στόμα,
τοῖς θηρσὶν ἤδη μὴ οὐκ ἀνήρπασταί γέ πως,
ἤτοι πρὸς ὕβριν, ἢ βορὰν θηρωμένοις.
ΟΜ. Εὔφημα φράζοις, ὦ κασίγνητον κάρα,
μηδ', ὡς ἄγαν τις ξυνετὸς ὢν τὴν ξυμφορῶν,
τῶν μὴ προδήλων, εἰκάσαι θέλοις φύσιν.
εἰ μὲν γὰρ ἔτυχες, ἀλλὰ γοῦν βλάβην φέρεις,
ἀχθῶν πρὸ καιροῦ τῷ βάρει τ' ἐπιστένων,
ὧν δ' ἀποτράποιο, τοῖσδ' ὑπαντήσας τρέχων.
εἰ δ' αὖ ταραχθεὶς οὐ δεὸν φοβῇ, πικρῶν
μάτην τὸ κέντρον ἀλγέων ἐπεσπάσω.
ἐγὼ μὲν οὐ τοσόνδε τῶν μαθημάτων,
καλῶν τε τούτων καρδίας στηριγμάτων,
ἥδειαν ἔνδον αἰὲν εἰρήνην τρέφειν·
ὧν τοὺς μαθητὰς ἡ 'ρετὴ 'διδαξατο·
ἄγευστον εἶναι τὴν κασιγνήτην δοκῶ,
ὥστ' οὐκ ἐν ἄλλῳ τῳ καθεστῶσαν πόθῳ,
εἰ μή τι φωτὸς, τοῦ μεθ' ἡμέραν τε θροῦ·
οὐ γάρ τι μεῖζον, οἶδ' ἐγὼ, βεβλάψεται·
ψυχῆς γαλήνην μὴ οὐκ ἀχείμαντον μενεῖν,
ἢ τοῦ ξυνήθους ἐκπεσεῖν κόσμου φρενῶν.
οὐδ' εἰ σελήνης θ' ἡλίου θ' ὑποβρυχὲς
πόντῳ θαλάσσης, πάμπαν ἐσβέσθη σέλας·
οὐδ' ὣς σπάνις τις τῇ 'ρετῇ γενήσεται
φέγγους γε, πρὸς τὰ τῇ 'ρετῇ τελούμενα,
τῆς ἐντὸς αὐγῶν ἀφθόνου χορηγίας.
καὶ πολλάχις δὲ καὐτὸ τῶν ἐρημίας
δέμας τὸ σοφίας ἡδονῶν ἱμείρεται·
ἐκεῖ δ' ἀρίστης ξυντρόφου θεωρίας
τυχοῦσ', ἕκηλος εὔπτερον πλευρῶν γάνος

ἰσχυροποιεῖ τοῖς ἐς αὖθ' ὑψώμασιν·
λάχνης τ' ἀγάλλει τοῖς νέοις βλαστήμασιν
τὴν φαιδρότητα· ταῖς τριβαῖς ὁμιλιῶν
ἀμβλῶπα τῶν πρὶν, εἴ τι μὴ 'ψιλωμένην.
ᾧ γὰρ διαυγὴς, μηδὲ συννεφουμένη
ξύννοια, τούτῳ κἀν μυχοῖσι Ταρτάρου
πάρεστ' ἐναύειν ἡμερησίου φάους·
ὃς δ' αὖ σκότου τι καρδίας ἔσω τρέφει,
ὑπεκκλαπὼν λαθραῖον ἐκτόσθεν κακὸν,
τούτῳ τὰ νυκτὸς ἐκ μεσημβρίας πρέπει,
καὐτὸς δ' ἑαυτῷ γ' ἀντὶ δεσμωτηρίου.
ΟΝ. Ὀρθῶς μὲν εἶπας, ὡς θεωρίας χάριν,
τῶν τ' ἠρεμούντων θἠσύχου νοημάτων,
μάλιστα κρυπτῶν τῆς ἐρημίας στεγῶν
ὠρέξατ' ἄν τις· ἔνθ' ἂν ἐκποδὼν ἄγοι,
ἀνδρῶν τε χωρὶς καὶ βοτῶν ὁμιλίας,
τῆς δ' ἀσφαλείας οὐδὲν ἧσσον ἂν τύχοι,
ἢ καὶ μέσοισιν ἐνστραφεὶς βουλεύμασιν.
τί γὰρ μονώτην ὄντα, κἀπ' ἐρημίας,
παύρων στερήσας εὐτελῶν τε κερδανεῖς ;
τῶν εὐσεβείας ἐσθ' ὑπηρέτημ' ὅτι,
ἢ βίβλον, ἢ τροφῆς τί γ', ἢ ῥάκος λαβών.
τίς δ' αὖ γέροντος οὐκ ἂν ᾐδέσθη κάρα ;
κάλλει δὲ, δένδρων τῶν ἐφ' Ἑσπέρας δίκην,
ὄζοις τὸ χρυσοῦν ἀμφικειμένων βάρος·
ἀνθέων τε καρπῶν τ' ἐς τέλος σωτηρίας,
ἐκ τῶν ἀναιδῶν τῆς ἀσελγείας χερῶν·
δεῖ του προκοιτῶν μηδαμῶς κηλουμένων,
τῶν τ' ὀξυδερκτῶν ὡς δράκοντος ὀμμάτων.
εἰ γὰρ τὸ κρυπτὸν τῶν φιλαργύρων γάνος,

ληστῶν ἐπ' ἄντροις πλησίον προκείμενον,
εἰκὸς ταχείας μὴ οὐκ ἂν ἁρπαγῆς τυχεῖν·
ἣν ἄν τις ἐλπὶς, ὡς ὕβρει μὲν ἀσμένῃ
οὐκ ἂν γένοιτο, καιρίαν πεῖραν λαβεῖν,
ἤ του φθασάσῃ παρθένων ἐρημίας,
ἄγρας προχείρου, μὴ θέλειν εὑρήματος
τοιοῦδ' ὑπεριδεῖν, κἀκ χερῶν ἀφιέναι.
οὐ γὰρ τὸ νυκτὸς δεινὸν, οὐδ' ἐρημίας·
ἀλλ' οἵ τε νυκτὶ κἀν ἐρημίᾳ φόβοι.
μὴ τῆς πρὸς οὐδέν', ὡς τανῦν, ἀνηγμένης,
χερῶν ἀνάγνων προσβολὴ χριμφθήσεται.
ΟΜ. Οὔτοι τοσαύτῃ τὴν κασιγνήτην τανῦν,
θάρσους κεχρῆσθαι τῇ περισσείᾳ δοκῶ,
ὥστ' ἐντρυφήσειν τοῖς παροῦσι πράγμασιν.
ἀλλ' ἕως ἔτ' ἐλπὶς καὶ φόβος, νίκης πέρι,
ἰσοῤῥόποισιν ἀντισηκοῦνται στάθμαις·
τοὐμὸν πέφυκε κρείσσονός γε μὴ θέλειν
μοίρας ἀφέσθαι· μηδὲ τῆς ὑποψίας
ὑφιδεῖν τὸ μέλλον ὄμμασιν λοξούμενον.
ἄλλως τε κοὐ μὴν οὐδὲ τῶν φρουρημάτων,
ὅσην σύ γ' οἴει, τῆς ὁμαίμονος σπάνις.
ἔχει γὰρ ἐντὸς, ὅς σ' ἔοικε δὴ λαθεῖν,
θησαυρὸν ἀλκῆς, ἐς δεὸν κεκρυμμένον.
ΟΝ. Ποῖός τις οὗτος, εἴ τι μὴ θεῶν λέγεις,
θησαυρὸς ἀλκῆς, ἐς δεὸν κεκρυμμένος;
ΟΜ. Καὶ τὴν θεῶν γε, χἀτέραν λέγω τινά·
ἣν εἰ θεῶν εἴληφε, τῆς κεκτημένης
δίκαι' ἂν εἴη δῶρον οἰκεῖον καλεῖν.
τί δ' ἄλλο τοῦτο, πλὴν τὸ τῆς ἱδρυμένης
στέρνοις ἀδελφῆς σεμνὸν ἁγνείας σέβας;
τούτῳ περισταλεῖσα, πᾶσά τις γυνὴ

τριπλοῖσιν ὅπλων στέλλεται χαλκεύμασιν.
ἴση τε νύμφαις, ὧνπερ εὖ πεφραγμένον
αἰχμαῖσι πικρῶν τοὔγκιον τοξευμάτων,
ὑλῶν περάσει τῶν ἀμηχάνων πλάτος,
δυσωνύμοισί τ' ὄρεσιν ἐγχρίμψει πόδα,
χέρσοισί τ' ἄμμων ἀλιμένων ἐρημίαις,
φόβου γεμούσαις, ἀσφαλῶς ὁδεύσεται·
αἴγλαισιν ἱρῶν τῶν παρ' ἁγνείας βελῶν
δέμας καταυγασθεῖσα· τῶν αἰδούμενος
οὐκ ἔστι ληστῶν, οὐδὲ βαρβαρουμένων,
ὅστις ματαίαις χερσὶ τολμήσει χρανεῖν
τἄθικτ', ἀκηλίδωτα παρθενεύματα.
αἰδῶ μὲν οὖν τοιάνδε, καὶ τοῖον σέβας,
θέμις βαδίζειν, μηδὲν ἐντραπούμενον,
εἰ μή τι κόμπῳ, μηδ' ἀπ' αὐθάδους φρενός·
θρόνον παρ' αὐτὸν τῆς ἐρημώσεως, ἐπὶ
φάραγξι, φρικτοῦ χασμάτων ἐντὸς σκότου.
οὐδ' ὧν θύραζε νυκτὸς ἐκπέμπει ζόφος,
νοτίδα θ', ἕλη τε, πῦρ τε, καὶ λίμνας πατεῖν·
ἀποτρόπαια πάντα καὶ δηλήματα·
μορμῶν μὲν οὔτιν', οὐδὲ φαρμακευτριῶν,
οὐδ' ἠρίοισι πνεύματ' οὐ κοιμώμενα,
ἀκροκνέφαια δέσμ' ἀποῤῥήξαντ' ἀεί·
οὐδ' ἄλλο τι μύσος παρθενευμάτων κάτα,
τῶν ὡς ἀληθῶς, οὐδὲν ἰσχύειν λόγος.
ἆρ' οὖν τοιούτοις ἄρτι πιστεύσας ἔχεις,
ὅσον τι σεμνῆς ἐστιν ἁγνείας σθένος;
ἢ καὶ παλαιῶν ἐξαναστῆσαι θρόνων,
προσμαρτυροῦσαν, μοῦσαν Ἑλλάδος με δεῖ;
πόθεν γὰρ, εἰ μὴ δῶρον ἁγνείᾳ δοθὲν
ἀεί τ' ἀνάσσῃ, κεὶσαεὶ δὲ παρθένῳ,

εἴληχε Λητοῦς ἡ κυνηγέτις κόρη
βελῶν τὸ δεινὸν ἀργυρωθέντων κράτος;
ξὺν οἷς λεαινῶν ἄγρια φρισσουσῶν κόμαις,
πάρδων τ᾽ ὀρείων, κυρία καθίστατο,
φλαύρων δ᾽ ἔρωτος κατεγέλα τοξευμάτων·
δέσποινα θηρῶν· ἧς ἀπειλητήριον
τὸ βλέμμα θεοῖς τε καὶ βροτοῖς δεῖμ᾽ ἦν ἰδεῖν.
τῆς αἰγίδος δὲ, τῆς ἀνικήτου θεᾶς
σοφῆς Ἀθάνας· ἧς ἔναντ᾽ αὐγάσμασιν
ἐχθροὺς ἐπήγνυ τῶν πετρῶν δεσμώματα·
ὁ γοργόνωτος ὡς δράκοντος ὀμφαλός·
τῆς ἐγκρατείας ἦν ἄρ᾽ ἄγναμπτον τόδε
θὤραμα, χἀγνῶν ὀμμάτων σεμνὴ χάρις·
ὑφ᾽ ἧς πρὸς αἰδῶ καὶ σέβας πεπληγμένον,
τὸ θηριῶδες πᾶν ξυνεστάλη μένος.
τόσον δὲ θἀγνοῦ κοὐρανοῦ τὸ ξυγγενὲς,
ὥστ᾽ εἴ τις ὄντως παρθένος ψυχὴ κυρεῖ,
ξὺν τῇδ᾽ ὁμαρτεῖ πλῆθος ἀγγέλων ἀεὶ,
ἑκοντὶ δούλων τοὔνομ᾽ ἐγγεγραμμένων·
φυγαῖς τ᾽ ἀποτρόποισι πᾶν θἀμαρτίας
ταύτης ἀπείργει, πᾶν δὲ τἀλιτήματος·
ὄναρ τε χὔπαρ ὡσὶ μὴ εὖ νενιμμένοις
πρὸς τήνδ᾽ ὁμιλεῖ τῶν ἀνηκούστων πέρι.
ἕως ἀπαύστῳ τῷδε τῆς ἀναστροφῆς
ἐν τοῖς ἄνωθεν· φωτὸς ἀντανακλάσει,
ψυχῆς ἄχραντος τῆς ἐνοικούσης νεὼς,
οὔξωθε μορφῆς ἄρχεται λάμπειν τύπος·
ὑποστάσει μὲν ξυντακεὶς τῇ κρείσσονι,
καὶ τῆς ἑνούσης μέρος ἔχων ἀφθαρσίας.
ὅταν δ᾽ ἀναιδῶν ὀμμάτων παρατροπαῖς,
ἢ σχημάτων τῳ, ῥημάτων τ᾽ ἀκοσμίᾳ·

μάλιστα δ' αὐτοῦ πλησμονῇ θὐβρίσματος·
ψυχῆς μολυσμὸς τοῖς ἔσω παρεσφθαρῇ·
αὐτὴ μὲν εὐθὺς βορβόρῳ πιαίνεται,
τῷ πλησιάζειν· ἕως τὸ θεῖον οὐσίας
ἀπόλωλε τῆς πρὶν, πάντα τῇ τοῦ σώματος
ἐμπλεχθὲν ὕλῃ, κἀκτεθηριωμένον.
τοιάσδε μέντοι τὰς σκιὰς θάμ' ἂν βλέποις,
ὄρφνης τε νοτίδος τ' ἐν μέσοις εἰλύμασιν·
φρουρὰς κατ' ὀστῶν τῶν νεκρῶν κατηρεφεῖς,
σκυθρωπὸν ἐντὸς ὑποδεδυκυίας σκότον·
ἢ καὶ παρ' ὄχθοις, ξὺν βραδυνούσῃ τινὶ
τοῖς νεωστὶ χωστοῖς, προσκαθημένας μονῇ·
ὄκνῳ ξυνηθῶν σώματος φιλημάτων
ἀποσπάσασθαι κεἰσέτ' εὐλαβουμένας·
αὐτάς θ' ἑαυτῶν καίπερ ἐς τὰ χείρονα
τὸ πρὶν προβάσας, σαρκίνης δέσμων ὅμως
τῆς ξυμπαθείας γλίσχρ' ἀεὶ δεδραγμένας.

ΟΝ. Ὦ τῆς ἀληθοῦς μουσικῆς ὅση χάρις·
ὡς σκολιὸν οὐδὲν, οὐδ' ἀπηνὲς ἐντρέφει,
ὃ δὴ τὸ μωρῶν οἴεται ψυχρὸν γένος·
ἀλλ' εὔκολον πᾶν καὶ σοφὸν, μελῶν δίκην
λυρῶν τε Φοίβου· δαψιλῶν τ' ἄνευ κόρου
τῶν νέκταρος δίδωσι προσφορημάτων.

ΟΜ. Σῖγα· τοῦ γὰρ ὄρθιον τόδ', ἐκ μακροῦ θ' ὁρμώμενον,
ὡς γεγωνήσαντος αὐρῶν κατεκράτησ' εὐνωμένων;

ΟΝ. Ἠισθόμην κἄγωγε φωνῆς· τοῦ δὲ, θαυμάσας ἔχω.

ΟΜ. Δηλάδη τῶν ὥσπερ ἡμῶν νυκτὶ ναυαγῶν τινος·
εἴ τι μή τις ὑλοκουρῶν τῇδέ πως κοίτην ἔχει·
ἤ τις ἐκκέκραγε λῃστῶν, ξυμμάχων μονούμενος.

ΟΝ. Ὦ θεοὶ, πρόστητέ γ' ἤδη τῆς ὁμαίμονός τί μοι·
ἴδε φίλ', ὡς μάλ' αὖθις ἵστατ'· ἄρτι δ' ὡς πέλας τόδε.

φασγάνων ἀνθεκτέον γοῦν, εἴ τις ἀσφαλὴς μενεῖ.
Ο Μ. Προσβοήσω μὴν ἔγωγε· καὶ γὰρ εἰ φίλων γέ τις,
ἀσμένοις ἂν ἐπιγένοιτ' ἄν· εἰ δὲ μὴ, τῷ γοῦν κακῷ,
οὔ τι μὴ προδούς τις αὐτὸν ξὺν θεοῖς ἁλώσεται.

ΘΥΡΣΙΣ.

Ο Μ. Τῆς βοῆς μὲν οὐκ ἂν εἴην τῆσδ' ἀνήκοος τὸ πρίν·
ἑστάναι δ' ὅμως, πικραῖς τις εἴ τι μὴ 'ἰχμαῖσιν παγῇ·
καὶ λέγειν δεῖ τίς ποτ' ὢν σύ γ'· ἀνθ' ὅτου δ' ἐλήλυθας.
ΘΥ. Τοῦ βοή μ' ἔσηνεν ἥδέ γ'; ἆρα δεσποτῶν ἐμῶν
τῶν νεωτέρων τις ὧδε; πῶς ἂν αὖθις ἐκλαλοῖς;
Ο Ν. Τί φημ', ἀδελφέ; πῶς γὰρ οὐχὶ Θύρσιδος
κλύω τόδ'; ᾧ τῶν τοῦ πατρὸς ποιμνῶν μέλει.
Ο Μ. Ὦ φίλταθ', οὗ δὴ πολλάκις θέλκτρων ὕπο
ὁ ῥοῦς ταχείας ἠνακωχεύθη φυγῆς,
ῥόδων τ' ἀπέπνει μᾶλλον εὔοδμ' ἐν νάπαις·
τί δ' ἦλθες ὧδε; μή τιν' αὐλείων πυλῶν
κριῶν παρεκβάντ', ἢ πλανωμένην ἀπὸ
σηκῶν τιν' ἀρνῶν, ἢ 'ρίφων ζητεῖς νέων,
τόπων ἐρήμων τῶνδε, κὠρφναίων τυχών;
ΘΥ. Ὦ δεσπόταισι τοῖς ἐμοῖς τῶν ἐλπίδων
τὰ πρῶτ' ἀπολαβὼν, καὶ σὺ, δευτέρων λαχών·
οὐ δή τι φλαύρων ἐννοούμενος τανῦν,
οἵων σύ γ' εἶπας, δεῦρο προσβεβὼς ἔχω·
ἢ στίγματ' ἀρνῶν, ἢ λύκων του κλέμματα
ἰχνοσκοπήσων· οὐδὲ γὰρ τῶν εὐπόκων
τὰ πάντα τοῖσδ' ἐν γηλόφοις νομευμάτων,
παρ' οὐδὲν ἂν γένοιτο φροντίδος χάριν,
πρὸς τὴν παροῦσαν ξυμφορῶν κατάστασιν.
δέσποινα δ' ἁμὴ, παρθένος τε ποῦ κυρεῖ
ὑμῶν ἀδελφή; πῶς δ' ἀποῦσα τυγχάνει;
Ο Μ. Ὁδοιποροῦσα, καίπερ οὐκ ἀνειμένης

τυχοῦσα φρουρᾶς, ἀλλ' ὅμως νοσφίζεται.
ΘΥ. Ὦ Θεοὶ, τὸ δεινὸν, οὔ φόβει μ' ἂν ἐξέβη.
ΟΜ. Τὸ ποῖον ; εἴ πως ἐν βραχεῖ δηλώσεται.
ΘΥ. Λέγοιμ' ἂν ἤδη. τῶν μὲν οὖν ποιημάτων
μάταιον οὐδὲν ἦν ἄρ', οὐδ' ἐψευσμένον,
οὐδ' εἰ κενῶν τῳ κἀμαθῶν ἄλλως δοκεῖ·
ὧν καὶ, τὸ θεῖον ἐκδιδαχθέντες φρονεῖν,
μουσῶν προφῆται τοῖς ἀγηράτων ἐπῶν
μύθοισιν ὕμνουν, ἠδ' ἀνιστόρουν πάλαι·
δεινῶν χιμαιρῶν, καὶ μαγευμάτων πέρι,
νήσοις ἐχόντων, καὶ καταῤῥωγῶν πετρῶν,
δι' ὧν ἐς ᾅδου χάσμ' ὑπεῤῥήχθη κάτω.
ἔστιν γὰρ, ἔστιν σώφροσιν μὲν οὖν τάδε,
εἰ καὶ τυφλοῖς γε πίστεως σπανίζεται.
Τούτων γὰρ ὑλῶν ἐπὶ μεσομφάλῳ φόβῳ,
κυπαρισσίναισιν εὖ πεφραγμένος κόμαις,
δεινός τις οἴκων Κῶμος εἴληχεν μάγος·
μητρός τε Κίρκης, καὶ πατρὸς Βάκχου γεγώς·
τεράτων τ' ἐς ἀκρὸν καὶ τεχνημάτων σοφὸς,
τῶν τῆς τεκούσης· ἔνθα γὰρ καθήμενος,
ὁδοιπόροις διψῶσιν ἐντυχὼν ἀεὶ,
πολλῇ προπίνει ξὺν λόγων πανουργίᾳ
κρατῆρ', ἐπῳδῶν οὐκ ἄνευ θρυλλημάτων
πρὸ τοῦ κυκηθένθ'· οὗ τὸ δηλητήριον
γλεῦκος φυὴν μὲν τῶν ἀεὶ γεγευμένων
διαφθερεῖ ξύμπασαν· ἐς θηρῶν τινα
ἄδοξον αἰσχράν τ' εἰκόν' ἠλλοιωμένην,
τὰ δ' ἐν προσώπῳ τοῦ λόγου χαράγματα
ἐναντίοις τύποισιν ἐξηλειμμένην.
τούτων σάφ' εἰδὼς τὴν ἀλήθειαν λέγω,
λειμῶσιν ἀλσῶν ἀγκέων τε τοῖς πέλας

ποίμνας νομεύων· ἔνθα νυκτὸς εἰσαεὶ
αὐτοῦ τε καὶ τῆς ξυγκλύδων ὁμιλίας
πάρεστ᾽ ἀκοῦσαι, δεινὸν ὠρυθμῶν τρόπον,
ἤτοι λύκων ὣς ἐν σταθμοῖς ὑλαγμάτων,
ἢ τιγρίδων που, πρὸς βορὰν βρυχωμένων·
ἄῤῥητον Ἑκάτης τῶν τελῶν αἰσχρουργίαν
μυχοῖς ἐρεμνῶν ἠθέων μυουμένους.
οὐ μήν τι τέχνης οὔτε πρὸς δελήτια,
οὔθ᾽ ὧν ἐπῳδαῖς ξὺν δόλῳ θέλξαντ᾽ ἔχει,
σπάνις σφιν οὔτις· ὥστε τῶν ὁδοιπόρων
εἰ μὴ νενηφὸς ὀξύ τ᾽ αἰσθητήριον,
λάθρα γ᾽ ὑπελθεῖν, κεἰς βρόχον παρεισάγειν.
τῆς ἑσπέρας γὰρ, τῆς ἐνεστώσης τανῦν,
ἐπεὶ τὰ ποιμνῶν, τὴν ἀγρώστιος ποὰν
δειπνοῦντα, πυκνῶν κεὐδρόσων βλαστημάτων
ἅλις ποτ᾽ εἶχε πάντα μηρυκωμένων·
πᾶσαί τ᾽ ἐν αὐλαῖς εὖ κεκλῃμέναι ᾽τυχον·
δείλην ὑπ᾽ ἄκραν τῶν πέλας βουνῶν ἔπι
αὐτὸς φυλάξων ἆσσον ἢ καθήμενος·
περικλύμενόν τε, κισσίνην θ᾽ ὑπὸ σκιὰν,
κρόκων ἕλιξι φαιδρὰ συμπεπλεγμένων.
ἐκεῖ δὲ τερπνῶν τῶν φρενὸς νοημάτων
ἅπας γενόμενος, παιδιᾶς μεμνημένος
τῶν βουκολισμῶν τῶν ἐμῶν κατηρξάμην,
μέχρις γ᾽ ὁ θυμὸς μεστὸς εἶχ᾽ ἀθυρμάτων.
ἀλλ᾽ οὔ τι παυσθεὶς ἔφθασ᾽ ἐκ μελισμάτων,
πρὶν ἢ ξυνηθῶν ὠρόρει χορευμάτων
μέσαις ἐν ὕλαις, πάντα συγχέας κρότος
ταῖς βαρβάροις τε κἀγρίαις δυσφωνίαις.
ἐγὼ δ᾽ ἐπισχὼν σῖγ᾽ ὑπήκουον, μέχρις
ἀπροσδόκητος τῆς βοῆς, οὐκ οἶδ᾽ ὅπως,

ἀνάκρουσις ἵππους τοὺς βραδυπτέρους ὄχων
ἔπαυσεν ὄχλου, τῶν ὕπνου καταστέγων.
τέλος δὲ φωνῆς ἁπαλὸν εὐσχῆμον δέ τι
προὔπεμψεν ἠχώ· ξὺν σχολῇ φορούμενον
αὐρῶν ἐς ὕψος, ὥστε κἀξ ἀρωμάτων
εὔοδμ' ἄνωθεν θυμιάμαθ' ἵεται.
λάθρα δὲ νυκτὸς ἐμβαλὸν σιγῆς θ' ὁμοῦ,
τὸ πᾶν σιωπῆς ἔφθασέν γ' ἀφυπνίσαν
κοίμημα, πρὶν δὴ καὶ παρόντος ἦν κλύειν.
καίτοι γε τοιῶνδ' ἀντὶ τῶν κινημάτων,
σιγὴ μὲν αὑτῆς οὐκ ἂν οὖσ' ἐφευρέθη,
μᾶλλον δὲ τὴν πρὶν ἐξεπῃσμένη φύσιν.
ἐγὼ δ' ἐς ἀκοὴν πᾶς μὲν ἦ τετραμμένος,
μελῶν κυρήσας, οἷα καὶ κρατουμένην
ψυχὴν ὑφ' ᾅδου γ' ἐκ χερῶν ῥυσαίατ' ἄν.
ἀλλ' ὦ ταλαίνης τῆς ἐμῆς φρενὸς τάχα,
αὐτῆς ὅτ' ἔγνων παρθένον τε καὶ φίλον
πρόσφθεγμ' ἀκούσας, δεσποτῶν νεωτάτης
ὑμῶν δ' ἀδελφῆς. τοῦτ' ἄρ' ὡς ξυνηκάμην,
λύπῃ τε φρικτῷ τ' ἐκπεπληγμένος φόβῳ·
οἴμοι δ' ἀνόλβου τ' ἀθλίας τ' ἀηδόνος·
ὡς εὖ μὲν ᾖδες, ὡς δ' ὀλεθρίοις ἐπὶ
παγίσι· τοσοῦτον ἐκβαλών, κατέδραμον
εὐθὺς δι' ἀλσῶν, ὡς ποδῶν εἶχον, κάτω,
διεξόδοις τε καὶ πόροις κυκλούμενος,
τοῖς οὐκ ἀπείροις, τῶν μεθημέραν στίβων.
οὐ πρὶν δ' ἐπῆλθον, καίπερ ἐγκονῶν ὅμως,
ὠτὸς προηγητῆρος ἀψευδοῦς τυχών,
πρὶν ἢ τὸ δεινὸν καὶ κατάπτυστον κάρα,
μορφῆς ὑπ' ἄλλον, ὡς σάφ' εἰκάσαι, τύπον
ἐνδύντα, θήρας τῆς νέας ἐπ' ἐλπίδι,

πρὸς τὴν ἔρημον ἄρτι συμβαλεῖν κόρην,
τὴν οὐδὲν οὖσαν, κοὐδὲν εἰδυῖαν κακόν.
ἡ δ', ὡς ἔνοικον τῶν πέλας κωμῶν τινα,
δοιώ τιν' αὐτὸν ἡσύχως ἀνήρετο.
καὶ ταῦτ' ἀκούσας, εὐθέως ὑμῶν πέρι
ἔγνων πυθομένην· καὶ τὰ μὲν τούτοις ἔπι,
οὐκ ἂν λέγοιμι· καὶ γὰρ οὐ μενεῖν ἀκμὴ
ἔδοξεν ἐν τοῖσδ'· ἐς φυγὴν δ' ὡρμημένον
σπεύδειν ἐφ' ὑμῶν τὴν τάχισθ' ὁμιλίαν,
ἕως ποθ' ὧδε δεῦρ' ἀπαντήσας ἔχω.
ΟΝ. Ὦ νύξ τε, χᾴδου ξύμμαχοι πανουργίαις
σκιαὶ, τριπλῶν ὡς ὁρκίων πιστώμασιν,
μιᾶς ξυνεστράφητε παρθένων κατὰ,
φίλων τε φρουρῶν θ' ὡς τανῦν γυμνουμένης.
τί δὴ τὸ θάρσος, ᾧ παρηγορεύμεθα
ἀδελφὲ, πρὸς σοῦ γ' ἐλπίδ' ἀρτίως ἔχειν;
ΟΜ. Κοὐ μή τι τούτου γ' οὕνεκα σφαλῇ ποτε·
εὖ γ' ἴσθ', ὁμαῖμον· οὐδὲ τῶν λελεγμένων
ἄῤῥητον οὐδὲν τοὐπί μοι γενήσεται.
κατὰ γὰρ ἁπάντων τῶν μεμαγγανευμένων,
καὶ τῶν ἁπασῶν τοῦ κακοῦ πανουργιῶν,
πασῶν τε θνητοῖς ψεῦδος ὠνομασμένης
τύχης ἀπειλῶν· τοῦτο γ' ἰσχυρίζομαι·
ἔστιν μὲν ἔχθους κἀπιβουλίας τυχεῖν,
οὐκ ἔστιν οὐδὲν τἀγαθὸν βλάβης παθεῖν·
τὴν μὴ δικαίαν δ' ἐς βίαν παρεμπεσεῖν,
ἀλλ' οὔ τι δεινοῖς ἐκτετρυχῶσθαί ποτε.
καὶ μὴν τὰ πλεῖστῃ ξὺν τέχνῃ σοφίσματα,
γνωμῶν πονηρῶν πρὸς βλάβην εὑρήματα·
πείραις ἐς ὀρθὸν αὐτὰ ταῦτ' ἀνηγμένα,
κλέος μέγιστον τῇ 'ρετῇ τετεύξεται.

τὸ κακὸν δ' ἐφ' αὑτὸ τοὔμπαλιν κλασθήσεται,
οὐ μή ποτ' αὖθις τῷγαθῷ 'ντριβούμενον·
τέλος τε συστροφαῖσιν ὥστε συρφετοῦ
αὐτόκακον εἰς ἓν, ἀμφικυκλωθήσεται
δεινῶν ἀπαύστοις ταῖς μεταλλαγαῖς πόνων,
αὐτόβορον εἶναι, καὐτοποίητον δ' ἀεί.
εἰ γάρ τι τούτων ψεῦδος, ἦ 'ρα τοὐρανοῦ
στεῤῥὸν τόδ' ἦν ἂν σαπρότης ἱδρυμάτων,
καὐτῆς δ' ἐπ' ἀχύρων γῆς ὀχούμενον βάρος.
ἀλλ' εἶ', ἄγωμεν. ὡς τόδ' ἔνδικον ξίφος,
εἴ που τὸ θεῖον ἀντίον τετάξεται,
οὐ μή ποτ' ἔσται τῷδ' ἀπειθήσειν ποτέ.
μάγον δὲ τοῦτον, τόν θεῷ στυγούμενον,
κἄμοιγ' ὁμοίως· κεἴ περ ἐμπεφράξεται
ὅσοις ποθ' ᾅδου σημάτων ὑπ' ἀσβόλῳ
φρικτὸν βλεπόντων τάσσεται στρατευμάτων·
ὕδραις τε χἀρπυίαισι, καὶ δυσμῶν ἄπο
ἕως ἐπ' ἠοῦς, παντί τῷ γ' εὑρημένῳ
τῶν δειματωδῶν τοῦ τέρως μορφωμάτων·
οὐδ' ὥς ποτ' ἁμῶν ἐκ χερῶν ἀλύξεται·
τὸ μὴ βιασθεὶς ἢ 'ξαφίστασθαι κλοπῆς,
τῆς μὴ δικαίας· ἢ κομῶν δεδραγμένον,
κακὸν κακῷ νιν τὸν βίον τρίψειν μόρῳ.
ΘΥ. Ὦ τέκνον, οὐ γὰρ λήματος μὲν ἐνδεὴς,
θάρσους θ' ὑπάρχεις· οὗ σ' ἐπαινέσας ἔχω·
ἀλλ' οὐ χερῶν τόδ' ἔργον, οὐδ' εὐψυχίας,
μάτην δ' ἂν ἐγχῶν ὠφέλημ' ἐγίγνετο.
ὅπλων γὰρ ἄλλων, χἀτέρων προβλημάτων
τὰ φάρμαχ' ᾅδου καταμαχουμένοις χρεών.
ὡς αὐτὸς εἴ σοι ῥάβδον ἐνσείσει μόνον,
μελῶν μὲν εὐθὺς τἄρθρα ναρκήσει τάδε,

νεύρων τ' ἀνεύρων θαμματ' ἐῤῥακώσεται.
ΟΜ. *Οὔκουν σύ γ' αὐτὸς ἆσσον ὢν ἐτύγχανες,*
ἰδὼν ἅ γ' ἡμῖν ἄρτι μυθηθεὶς ἔχεις ;
ΘΥ. *Καὶ γὰρ μερίμναις πάντα μηχανώμενος,*
δέσποιναν εἴ πως τῶνδε ῥύσασθαι κλοπῶν
ἐμὴν γένοιτ' ἄν· παιδὸς ἐμνήσθην τινὸς,
τῶν ποιμένων τού γ'· εὐτελοῦς μὲν οὖν ὁρᾷν,
ποιῶν δὲ πασῶν καὶ φυτῶν πάντων σοφοῦ,
τῶν τι προσηνὲς χὐγιὲς κεκτημένων,
ὅσοις τό χλωρὸν τῶν κομῶν πετάννυται
ἕω πρὸς αὐγάς. προσφιλῶς δ' ἔχων ἐμοῦ,
σπουδὴν ἂν εἶχε πολλάκις τῶν παιγνίων
τῶν μοῦ 'πακοῦσαι· κᾆτα νεύσαντος τυχὼν,
χλωρῶν ἐπ' εὐνῶν αὐτὸς ἀκροώμενος
ἔκειτ' ἂν, αὐτοῦ γ' ὥς τις ἐξεστὼς ἰδεῖν.
καὶ δὴ τοιούτων ἀντὶ τῶν χαρισμάτων,
πήρας ἀνοίξας πῶμα θησαυρισμάτων,
παντοῖ' ἐδείκνυ φαρμάκων ἀθροίσματα·
δύναμίν θ' ἑκάστου καὶ φύσιν μυθούμενος,
πολλῶν τ' ἂν ηὔδα διαφόρων τε θαύματα.
μίαν δὲ τούτων, ἀπρεπῆ βαιάν τ' ἰδεῖν,
θείας δ' ἔσωθε τῆς ἐνεργείας πλέαν,
ῥίζαν προφήνας· φύλλ' ὑπορφναίαν βλέπειν,
φρίσσοντ' ἀκάνθαις· ἣν μὲν ἀλλαχοῦ γ' ἔφη
στιλβόντι χρυσῷ, τῇδέ γ' οὐδαμοῦ κομοῦν·
τήνδ' οὐδὲν ἴδρις βουκόλων ὁσημέραι
πᾶς τις στίβοισιν ὑπερορᾷ πατουμένην.
καίτοι γ' Ὀδυσσεῖ δῶρον Ἑρμείων χερῶν,
τὸ μῶλυ ταύτης ἧσσον ἦν ἰαμάτων.
ἣν δὴ λαβόντα μ', αἱμόνειαν ἐννέπειν,
ἐκέλευ' ἐν οἴκοις εὖ σεσωσμένην ἔχειν·
ὡς ἕν τι πάντων φάρμακον δηλημάτων,

καυθμῶν, μαγειῶν, ἐρυσιβῶν τε, καὶ κρυῶν,
καὶ τῶν σκυθρωπῶν φασμάτων Ἐριννύων.
τοὐντεῦθεν, ἦν μὲν τοῦτό μοι κειμήλιον,
οὐχ ὥς τι πολλοῦ δ' ἄξιον, πρὶν δή ποτε,
ταῖς νῦν ἀνάγκαις περιπεσὼν, πείρᾳ 'μαθον.
ὧν γὰρ προεῖπεν, οὐδὲν ἦν ἐψευσμένον·
ταύτης χάριν γὰρ τὸν γόητα γνωρίσαι,
μορφὴν δολωθέντ· ἠδ' ἐπ' ἰξεύταις πέλας
βρόχοις γενόμενον, αὖθις ἐκνεῦσαι παρῆν.
ἣν καὶ φοροῦντας, τῶν ἐμῶν δῶρον χερῶν,
δερῶν ἄναπτον· νεκυομαντικῶν ἐπὶ
ἔξεστ' ἀόκνους προσβαλεῖν αὐλῶν πύλαις.
καὐτὸς μὲν ἔνδον εἰ τύχοι, τότ' ἀσφαλῶς
ἐπενθορόντες, καὶ ξιφῶν ἐπηρμένας
σείσαντες ἀκμὰς, ὑάλινόν τε τῶν ποτῶν
κρατῆρα θραῦσαι, καὐτὰ δ' ἐκχέαι χαμαὶ
μέμνησθε, ῥάβδον τ' ἐγκρατῶς χερσὶν λαβεῖν.
κεἰ μέν τι δεινὸν ἠδ' ἀπειλητήριον
εἴ τ' αὐτὸς, ἢ πᾶς τῶν ὑπασπιστῶν χορὸς,
ὡς εἰς ἀγῶνα καὶ μάχην θωρήξεται·
ἢ καὶ τέκνοισι τοῖσιν Ἡφαίστου γ' ἴσοι,
πυρὸς καπνοῦ τε φλογερὸν ἐκπνεῦσαι μένος·
ὄχλον γε μέντοι τὸν πέλας διασκεδᾷν,
αὐτοῦ τρέσαντος εἰσάπαξ, ἔσται ταχύ.
ΟΜ. Ὦ Θύρσις, οὐκ ἂν δὴ φθάνοις ἡγούμενος,
ἡμεῖς θ' ἑπόμενοι· πρευμενῶν δέ τού γ' ὁμῶς
ξυνασπίσοντος ἀγγέλων εἴη τυχεῖν.

ΚΩΜΟΣ. Η ΔΕΣΠΟΙΝΑ.

Γύναι, 'πὶ θάκοις ἠρεμεῖν καθημένη·
μή που τὰ νεῦρα, ῥάβδον ἐκτείνας μόνον,
δεσμοῖς ἅπασαν μαρμάρου σε ζευγνύω,

ὡς ἀνδριάντος· ἦ 'ρα καὶ Δάφνης δίκην,
Φοῖβον φυγούσης, γῆθεν ἐῤῥιζωμένης.
Η Δ. Μηδὲν μέγ' εἴπῃς, μωρέ· καὶ γὰρ οὐ φρενῶν
τῶν μου κρατήσεις τοῦ γ' ἐλευθέρου ποτέ·
εἰ καὶ τὸ σῶμα, μέχρις οὗ Θεῷ δοκεῖ,
πέδαισι τῶν σῶν φαρμάκων ἐνέξομαι.
ΚΩ. Τί δ' αὖ προσοχθεῖς, ὀργίλον θ' ὁρᾷς, γύναι ;
οὐ γὰρ τάδ' ὀργῆς δώματ', οὐ δυσθυμίας·
καὶ πᾶν τὸ δεινὸν, πᾶσα τῶνδ' ἀπόπροθεν
λύπη μελάθρων· πάντα δ' ἡδέων πάρα,
ὅσ' ἂν νέαισιν ἐντέκοι 'πιθυμία
δόξαις ἐφήβων, πρῶτον ἐκγεγηθότος
τυχοῦσ' ἔσωθε, τοῦ κατὰ φλεβῶν, ῥόου,
τῶν πρωτολείων ἦρος ὡς ἀγαλμάτων.
σκέψαι δὲ πρῶτον τῶνδε τἀμαρύγματα
θυμαρέων σοι· πῶς ἔσω κρυσταλλίνων
σκιρτᾷ διαυγῶν, ἠδ' ὑπορχεῖται κύκλων·
μελισσοφύλλου καὶ θύμου θάψήματα,
πάντων τ' ἄπεφθα γλευκέων τἀρώματα.
τὸ γὰρ γυναικὸς, τῆς ἐν Αἰγύπτῳ ποτὲ,
δῶρημα Θῶνος παρθένῳ τῇ τοῦ Διός·
οὐδέν τι τούτοις φίλτρα νηπενθοῦς ἴσα,
χαράν τ' ἐγεῖραι, κἀναλαμβάνειν βίον,
κόπων παραψυχαῖσι, καὶ δίψης ἄκει.
τί δή ποθ' ὕβρεως τῆσδε τῆς ἀγνώμονος,
τῆς ἐς σεαυτὴν, σκαιότητ' ὀφλισκάνεις ;
καὶ ταῦτα τἄρθρα σκληραγωγῆσαι θέλεις,
ἃ δὴ φύσις μὲν, οὕνεκ' ἐξειργασμένων,
καλῶς ποιήσασ', ἁβρότητ' ἐβούλετο
ἔχειν διαίτης, χἀπαλῶν τυχεῖν τροφῶν.
ἀλλ' οὐ γὰρ ὀρθῶς τοῖς παρηγγυημένοις

λαβοῦσ' ἐχρήσω, μὴ παρεσπονδημένοις.
τῷ σῷ χρεώστης δ' ὡς κακόζηλος δάνει,
ὡς οὐδὲν αὐτῆς φλαυρίσασ', ἐνύβρισας·
τῷ μὴ τοιούτων ἐπιτετραμμένῳ κυρεῖν.
ὧν δ' αὖ τὸ θνητὸν κἀσθενὲς μὲν ἄμμορον
πέφυκε μηδὲν, ὡς ἂν εὐσοίας μέλειν·
λυπηρὰ πάντα κὠδυνήρ' ἀεί ποτε
ἐναντίων που διαδοχαῖς ἰώμενον·
μετά γε τὸ συνεχὲς τῶν δι' ἡμέρας πόνων
κόπον τ' ἀκεῖσθαι, κἀναπαύσασθαί τινα·
τροφῆς τ' ἐν ὥρᾳ καιρίαν ζητεῖν δόσιν·
ταῦθ' ὡς παρ' οὐδὲν μηδ' ἐς ἔννοιαν λαβεῖν
βούλῃ, σέ γ' εἶναι· χὡς περίσσ' ὑπερφρονεῖς.
ἀλλ' εἴ τι τούτων, ὦ καλὴ, λειφθεῖσ' ἔχεις,
τὰ φίλτρα πᾶν σοί γ' ἀποκαταστήσει τάδε.

Η Δ. Ὦ μηδὲν ὑγιὲς οὔτ' ἐρῶν οὔτ' ἐννοῶν,
ἀλλ' οὐ τὰ φίλτρα γ' ἀποκαταστήσει τὰ σὰ
τοὐρθόν ποτ', οὐδὲ τὴν ἀλήθειάν γ' ἔτι,
ἣν ψεύδεσίν γε σῆς ἀπὸ γλώσσης μακρὰν
ἔχεις σοβήσας· ἦ γὰρ ἐνθάδ' οὖν πάρα
τὰ πιστά γ' εἰ καὶ σμίκρ' ὅμως φρουρήματα,
ὧν ἄρτι πρὸς σοῦ τυγχάνω 'πηγγελμένη;
ποίοις ἄρ' ὧδε τέρασιν ἐμβλέψασ' ἔχω,
τῶν θηροκράνων τῶνδε, τῶν ᾐσχυμμένων
λώβαις προσώπων; ὧν μ' ἀποῤῥύσαιτο δὴ
ἀποτροπαίων οἰκτίσας τις ἀγγέλων.
ἔῤῥ' αἰσχροποιὸν καὶ δολοπλόκον κάρα,
αὐτοῖσι τῶν σῶν φαρμάκων κυκήμασιν.
ἅλις γὰρ ἤδη τῆς ἐμῆς εὐηθίας
θἀπλοῦν τε πιστόν θ' ὡς ἄγαν, ὑποκρίσει
τῇ σῇ προσώπων ἐσφάλη πεπλασμένων,

καὶ τοῖς πονηροῦ κόμματος νομίσμασιν.
καὶ νῦν με πειρᾷ, δεύτερον σφαλουμένην·
οἴει τε, θηρῶν ὡς ἀναισθήτων δίκην,
ἰξοῖσι τῶν σῶν γλευκέων ἁλώσομαι.
οὐ δὴ τοσοῦτον μωρίας ὀφλισκάνω·
οὐδ᾽ εἰ τάδ᾽ Ἥρας νέκταρός τ᾽ ἀντάξια,
πάντων τε δαιτὸς ἐν μέρει ποτημάτων·
οὐδ᾽ ὣς ποτῶν σῶν τοῦ δόλου γεγεύσομαι.
χρηστῶν γάρ ἐστι χρηστὰ δωρεῖσθαι μόνον·
κακοῦ δὲ μηδὲν οὔτιν᾽ εἰς ὄρεξιν ἂν
τῶν μὴ ματαίων ἐξάγοι 'πιθυμιῶν.

ΚΩ. *Ὦ μωρὸν ἀνδρῶν, τῶν κρεμασθέντων γένος*
τοῖς ὠσὶν ἐκ τῶν τῆς Στοᾶς τριβωνίων,
ἢ τῶν Κυνός γε τοῦ πίθου διδαγμάτων·
τῆς ἐγκρατείας αἰὲν ἐκπαγλουμένων
τὰ ξηρὰ ταῦτα λεπτά τ᾽ ὠχριασέων.
τοῦ γάρ ποθ᾽ ὧδε τῆς φύσεως μὲν ἀφθόνῳ
τῇ χειρὶ τἀγάθ᾽ ἐπιχορηγηθέντ᾽ ἔχει·
καρπῶν τε γαῖα, καὶ βοτῶν, κἀρωμάτων,
γόνων τε πόντος τῶν ἀνηρίθμων γέμει·
εἰ μή τι γεύσει τὸ περιεργὸν ἱμέρων
πολλοῖς τε νικᾶν διαφόροις τ᾽ ἐβούλετο;
αὐτὴ τὸ πλῆθος τοῖς τέκνοις κοσμημάτων
τοῖς οἷς πορίζουσ᾽, ἐντόμων τὸ πᾶν γένος
προὔτρεψ᾽ ἐς ἔργων αὐτόματα κινήματα·
χλωρῶν ὑφήνασ᾽ ἐντὸς ἐργαστηρίων
βόμβυξι λείων τῶν ἀραχνίων τρίχας.
αὐτὴ δὲ μῆτιν᾽ ἐνδίκου πληρώματος
θέλουσ᾽ ἄμοιρον γωνιῶν πεφυκέναι,
τὰ πᾶσιν εὐκτὰ, πᾶσι δ᾽ αὖ σεβάσμια,
χρυσοῦ μετάλλων ὀσφύσιν χωνεύματα,

λίθων τ' ἔτικτε πολυτελῶν σωρεύματα.
τοῖσδ' εἰ προσοχθήσασι πρὸς τὸ καρτερὸν,
ξυμπᾶσιν ἡμῶν ὀσπρίων τρώγειν ἀπὸ,
δίψαν τε παῦσαι λιβάσιν ὑδρηλαῖς μόνον,
καὶ σάκκον ἄρθροις περιβαλεῖν δεδόξεται·
ποίαν ὁ πάντων κοινὸς ὢν εὐεργέτης
τῆς χρηστότητος τήνδε λήψεται χάριν;
οὗ δῆθ' ὁ πλοῦτος, τοῦ βάθους ἐς θἤμισυ
ὅσος τίς ἐστιν, οὐδέπω 'γνωρισμένος·
ἤδη παρ' ἡμῖν φλαῦρος ὢν κατεκρίθη.
ἡμεῖς δὲ δοῦλοι δεσποτῶν καθέσταμεν
γλισχρῶν τε, καί σφιν τῶν τεθησαυρισμένων
τοῖς οἷς ἐχόντων οὐδαμῶς κοινωνικῶς·
νόθοις τε κοὔτοι γνησίοις ἐοίκαμεν
τὰ πρὸς φύσιν γε· τῇ μὲν οὖν εὐθηνίας
ἄχθος τέτυκται πλῆθος οἰκείας μάτην,
αὐτῇ τὸν αὑτῆς οὐχὶ σωκούσῃ γόμον.
ἡ γῆ δ' ἐνόντα πάντ' ἂν οὐκέτι στέγοι·
ἁὴρ δὲ πλήθει τῶν πτέρων σκοτώσεται·
βοτῶν θ' ὑπερπλήρωμα τοῖς κεκτημένοις
ἔσται δι' ὄχλου· καὶ στενούμενον γοναῖς
ὕδωρ τὸ πόντου γῆς ὑπερχυθήσεται.
λίθων δὲ μηδὲν τοῖς ἄνω ζητουμένων,
ἀκτῖσι κρυπτῶν ἐν βυθοῖς δαιδαλμάτων
τὸ μέτωπον ἅλμης τοῖα λαμπρυνθήσεται·
οὐχ ἧσσον ἄστροις οὐρανοῦ γ' ἐστιγμένον·
ὥστ' οὐκ ἄηθες φωτὸς ὂν πρὸς ἡλίου
βλέψειν πρόσωπον, μηδὲν αἰσχυνούμενον.
γύναι, πιθοῦ μοι· μηδὲ διαθρυφθεῖσ' ἔχε,
τοῖς μηδὲν οὖσιν ἐς μάτην ὠγκωμένη,
εἰ μὴ λόγων κόμποισι, παρθενεύμασιν.

φύσις τὸ κάλλος ὡς νόμισμ' ἐβούλετο
οἰκεῖον εἶναι· καὶ τεθησαυρισμένον
οὐκ ἔσθ' ὅτου ποτ' ἄξιον γενήσεται·
ἀλλ' ἀλλαγῆς δεῖ· καὐτὸ δ' ἐκ κοινωνίας
τερπνῶν θ' ἑαυτῆς, κἀγαθῶν ἐπαύρεται·
κεἰ μὴ ξὺν ἄλλοις, τῆς ἀηδίας γέμει.
κάλλος δ' ἄδρεπτον, ἀμφὶ τοῖς αὑτοῦ ποτε,
καρηβαρούντων ὡς ῥόδων, περιῤῥυεῖ
μίσχοις ἔραζε. καὶ γὰρ ἓν τὸ τῆς φύσεως
αὔχημ' ὑπάρχον, ἠδ' ἀγώνισμα κτίσεων·
δίκαιόν ἐστιν ἐνθάδε στρωφώμενον,
ὅπου τὸ λαμπρὸν τῆς τέχνης ἐν ὄμμασιν
σπουδὴν μάλιστα τὴν ἴσην εὑρήσεται·
αὐλαῖς, ἑορταῖς, καὶ πανηγυρέων χοροῖς.
τῶν δ' αὖ θύραζε μηδέν' ἂν δεδειγμένων
πρὸς ζῆλον εἰδῶν· δηλάδη μελητέα
τὰ τῶν ἔσωθε τοῖσδέ γ' οἰκουρημάτων.
τίς γὰρ περισσῶν χρῆσις ἢ παρηΐδων,
ῥεθῶν τε λαμπρὸν ᾑματωμένων γάνος,
πρὸς τοὺς γυναικῶν τοὺς ἔσω στεγῶν πόνους·
ἱστοὺς θ' ὑφῆναι, κἀρίων πέξαι τρίχας;
τί δ' αὖ τὸ τοῦτοις χειλέων τ' ἐρεύθεσιν,
μιλτωτὸν ἄνθος κοινὸν ἐγκεχρωσμένων;
ἢ τοῖς ἔρωτος ὀμμάτων τοξεύμασιν,
τοῖς θ' ὡς ἑῴων ἀγλαΐσμασιν κυμῶν;
πάντων ἂν ἄλλων ταῦθ' ὑπομνῆσαί σ' ἔχοι,
εἰ σωφρονοίης, ὦ φίλη· νέα γὰρ εἶ.
ΗΔ. Ἐμοὶ μὲν αὐρῶν τῶνδ' ἀνολβίων ἔσω,
δεδογμέν' ἦν ἂν μηδ' ἀναπτύξαι στόμα·
εἰ μὴ τὸ δόξης, ὥσπερ οὖν τό γ' ὀμμάτων,
ἐβούλεθ' οὗτος ταῖς τέχναις οὑποκριτὴς

σφήλας μ' ὑπελθεῖν· τοῦ βίου γνώμας προθεὶς
ψευδεῖς μὲν, εἰκὼ δ' ἐς λόγου γ' ἐσταλμένας.
μὴ γὰρ γένοιτο τῇ 'ρετῇ ποτ' εὐπόρων
τόσῃ γ' ἀφορμῶν τοῦ λέγειν χρῆσθαι σπάνει·
ὡς μὴ οὐ τὸν ὄγκον καὶ θράσος τὸ τοῦ κακοῦ,
λόγων ἀναιδῶς ἀντίον γ' ἐῤῥιμμένων,
γνώμαις ἐλέγξειν καὶ καταισχυνεῖν σοφαῖς.
ψευδηγορῶν γὰρ τῆς φύσεως κατῃτιῶ·
τῆς μὴ δικαίας συκοφαντίας κυρεῖν·
ὡς δῆθ' ὕβρεώς τε καὶ κόρου τέκνοις χάριν,
πάντων πεπορίκοι τὴν ἄνευ φθόνου δόσιν.
ἡ δ' ὡς καλή τις τῶν ἔσω σωρῶν φύλαξ,
μόνοις χορηγεῖν βούλεται τοῖς ἀξίοις·
τοῖς δὴ καθ' αὑτῆς τὸν βίον τελεῖν νόμους
θέλουσιν, ὁσίως σωφρόνως θ' ὡρισμένους.
εἰ γὰρ δικαίοις, τοῖς ἐν ἐνδείᾳ τανῦν
ὅπου ποτ' οὖσιν, ἐν μέρει μέτρου λαχεῖν
ἐξῆν ἑκάστοις, ὧνπερ ἐμπεπλησμένη
πολλῶν τ' ἀκαίρων θ' ἡ τρυφὴ μὲν οὐδενὶ
παύροισι κόσμῳ προσβαλοῦσ' ἔχει τισίν·
ἣν ἂν τὸ πλῆθος τῆς φύσεως δωρημάτων,
ἐξ εὐλόγων τε κοὐχ ὑπερμέτρων τινῶν
ῥυθμῶν, ἅπασι διανέμειν κατ' ἀξίαν·
αὐτῇ δε τἀγάθ' οὐδὲν ἄχθος ἦν φέρειν·
ὁ δούς τε μᾶλλον ἦν τότ' εὐλογούμενος,
χάριτός τ' ἐπαίνου τ' οὐκέθ' ὑστερούμενος.
οὐ γάρ ποτ' οὐδ' οὖν, ὥσπερ οὐδ' ὑῶν, τόδε
τῶν γαστριμάργων, ἐν μέσῃ θοιναμάτων
τῇ λαμπρότητι, φροντίδ' οὐρανοῦ λαβεῖν,
τοῦ γ' εὖ διδόντος· ἀλλ' ἀναίσθητος θεοῦ
αὐτὸν, μεταξὺ καὐτὸς ἐμφορούμενος,

προπηλακίζει λοιδορεῖ τε τὸν τροφόν.
ἆρ' οὖν τι τούτοις δεῖ με προσθεῖναι πλέον;
πῶς δ' ἐνθάδ' ἔξω; καίπερ εὖ γ' εἰδυῖ' ὅτι
πρὸς μὲν τοσοῦτο τῆς ἀναιδείας στόμα,
ὃ καὶ τὸ φοιβολάμπτον ἁγνείας σέβας
γλώσσης τετόλμηχ' ὑβρίσαι βλασφημίαις·
μάτην ἄρ', εἴ τι κἀξερῶ, λελέξεται.
σὺ δ' οὔτ' ἄρ' ὤτων, οὔτ' ἄρ' ὧδ' ἔχεις φρενῶν,
ὥστ' οὔτ' ἀκούων, οὔτε συννοούμενος,
οἰκεῖος εἶναι τῶνδε τῶν μυστηρίων,
ξένον θ' ἑαυτῶν χὔψος ἐξηγουμένων,
ὧν καὶ προσήκει, παρθενευμάτων ὕπερ
σπουδήν θ' ἅπασαν, σῶφρον ἐννέπειν θ' ἅπαν.
οὐδ' οὖν τί γ' αὐτὸς οὐδὲν ἄξιος τύχης
εὐδαιμονῆσαι τῆς ὑπαρχούσης πλέον.
τῶν ἀστεϊσμῶν, τῶν καλῶν κομψευμάτων,
ὄναιο δῆθεν· τῶν λόγου τ' ἰνδαλμάτων,
τέχναισιν ὥστε μονομάχων ἠσκημένων.
οὐ γὰρ δίκαιον οὐδέ σοι ξυνειδέναι
τὸ σόν γ' ἐλεγχθέν· εἰ δὲ μή, πειρωμένης
ἐν τῷδ' ἀμώμῳ χὠσίῳ ξυνηγορεῖν,
αὐτῆς τό γ' ἀξίωμα μὴ κατάσχετον
τὸ πνεῦμα τοὐμὸν τῆς δίκης ἂν ἥρπασεν,
φλογὸς τοσαύτην δεινότηθ' ὑφημμένον,
ὅσην ἀναύδων μὲν παραιθύξειν ὄπα
τῆς ξυμπαθείας· γῆς δ' ἀναισθήτῳ βάρει
πάντων δι' ἄρθρων ἐγκαταστήσειν τρόμον,
τὸν σοῖς ἅπαντα φαρμάκοις ὑψούμενα
τρίψοντ' ἐς αὐτοῦ μηχανορράφον κάρα.
ΚΩ. Οὐ μήν τι λῆρος ταῦτα τῶν εἰρημένων·
οὐδ' εἴ τι κρεῖσσον τοῖσδε μὴ ξυνηγόρει,
αὑτῷ ξυνῄδη 'ν τοῖς λόγοις φοβουμένῳ.

θνητὸς δὲ μὴ φὺς, ἔντρομός γ᾽ ὅμως ἅπας,
ψυχρόν τιν᾽ ἱδρῶ τῆς χροὸς δροσίζομαι·
ὡσεὶ τὸ Δῖον, ἀστραπαῖς ὡπλισμένον,
τοῖς ξυμμάχοισι, Ταρτάρων ἔσω, Κρόνου
ὀργήν τε δεσμούς τ᾽ ἐγκατασκήψαι μένος.
ὑποκρίσεως δεῖ, κρεισσόνων τέ του λαβεῖν
πεῖραν, τὰ ῥηθέντ᾽ οὐχὶ προσποιούμενον.
γύναι, τὰ πλείω μὴ φλυαρήσασ᾽ ἔχοις·
ὕθλος γὰρ ἄλλως, κἠθικῶν τι παιγνίων
καὶ ταῦτα, χὤσ᾽ ἂν τοῖς φύσεως καταντικρὺ
ἀρχηγέταισιν ἀντιπεπτώκῃ νόμοις.
κεἰ μὴ 'κφλυουσῶν αἵματος τρυγῶν τ᾽ ἀπὸ,
ὑφιζανόντων τ᾽ ἐς χολὴν καθαρμάτων,
ἔφυ τάδ᾽, ἡμῖν γ᾽ ἦν ἂν οὐκ ἀνασχετά.
πάντων δὲ τούτων, εἰ θέλεις, ἀπαλλαγὴν
ἕξεις ταχεῖαν, τῶνδ᾽ ἅπαξ γεγευμένη.
ἅλις γὰρ ἕν τι γεῦμα τῶνδ᾽ ἀθυμίαν
ψυχῆς ἅπασαν βαπτίσαι τοῖς χάρμασιν,
ὧν οὐκ ἂν ηὔξατ᾽ οὐδ᾽ ὀνείρασιν τυχεῖν.
ἀλλ᾽, ὦ φίλη πείσθητι, κεὐδαίμων γενοῦ.

ΘΥΡΣΙΣ. ΤΩ ΑΔΕΛΦΩ.

Οἴμοι· τί δ᾽ αὐτὸν τὸν πλάνον γ᾽ ἀφήκατε ;
ἔδει γὰρ ὑμᾶς σώματος μὲν ἐγκρατεῖς
δεσμοῖς γενέσθαι, σκῆπτρον ἐκ χερῶν δ᾽ ἑλεῖν.
τούτου γὰρ εἰ μὴ τοῖς πάλιν κινήμασιν,
καὶ τοῖς ἐπῳδῶν αὖθις αὖ θρυλλήμασιν·
οἷοις τε τὰ ζευχθέντα χωρίσαι πάλιν·
οὐκ ἔστι ταύτην λαΐνων λῦσαι πεδῶν,
καὶ τῶν ἑσαιὲν ἐξαναστῆσαι βάθρων.
ὅμως δὲ, καίπερ ταῦτά γ᾽ ἡμαρτημένους,
θαρσεῖν κελεύω· τοῖ᾽ ἀναμνησθεὶς ἔχω

πρὸς τοῦ γέροντος Δάφνιδος, τοῦ ποιμένων
ἑνὸς κρατίστου τἀν ἀγροῖς συρίγματα,
τούτου διδαχθεὶς τἀπόρου λυτήρια.
Οὐ γάρ τι μακρὰν τῶνδ' ἀποικεῖται τόπων
εὐγνωμόνων του καὶ φιλανθρώπων δόμος
νυμφῶν, Σαβρίνης· παρθένων ἁγνεύμασι
τὰ πρῶτ' ἐχούσης· ἥτις ἡνίοις ὕπο
λείας χαλινοῖ καὶ ξυνωνύμους ῥοάς·
παῖς μὲν Λοκρίνου· τοῦ πατρὸς Βρούτου πάρα
σκῆπτρον πάλαι ποτ' ἐν χεροῖν δεδεγμένου.
φεύγουσα δ' ὀργῆς, τῶν τε μητρυιᾶς ἀπὸ
δεινῶν διωγμῶν, μηδὲν ἠδικημένης,
ὡς δῆτα ῥείθροις ἐμπεσοῦσ' ἐνέσχετο,
τἀθῷον ἤδη κἀμίαντον ὕδασιν
ἄοκνος ξυνίστη τοῖς παραῤῥοῦσιν δέμας.
αἱ δ' ἐν βυθοῖσι ναμάτων Νηρηΐδες,
τερπνῶν ἄγουσαι παιδιὰν χορευμάτων,
καρπῶν μὲν εὐθὺς μαργάρων δαιδάλμασι
τό πτῶμ' ἐδέξανθ'· ὕπτιον δ' ἐν ὠλέναις
πατρὸς πρὸς αὐλὴν Νηρέως ἐβάστασαν.
ὃς καί τάλαιναν οἰκτίσας τῶν ξυμφορῶν,
δύστηνον αὐτὸς πρῶτος ὀρθώσας κάρα,
καὶ ζωπυρήσας, ταῖς κόραις παρηγγύα,
φορεῖν πρὸς οὔδοις ἀσφόδελον ἐστρωμένον,
καὶ νέκταρος δὲ δαπέδων ῥαντίσματα,
λούτρων κυροῦσαν· ἔνθα καὶ βεβαμμένον,
πόροις θ' ἑκάστων ἐντὸς αἰσθητηρίων,
μύρων σταλάγματ' ἀμβρότων κεχρισμένον,
τὸ σῶμα θνητῆς αἶψ' ἀπηλλάχθη φθορᾶς,
τοῖς ἐς τὸ θεῖον αὖθις αὖ γεννήμασιν·
αὐτή τε δαίμων ἄφθιτος τετυγμένη,
ῥείθρων κατέστη τῶν ὁμωνύμων φύλαξ.

ἀλλ᾽ οὐ τὸ πραῢ μαλθακόν τε παρθένου
ἀπόλωλε τῆς πρίν· κεῖσέτ᾽ ἀνθρώπων φίλη,
δείλης τε κὤρθρου πολλάκις δι᾽ ἀλσέων
βαίνουσ᾽ ἔτ᾽ ὄρφνης, ποιμνίων διέρχεται·
κεἰ πού τι πρήσματ᾽, ἢ ποδῶν εὐωνύμων
ἔσκηψε χλωραῖς ταῖς ποαῖς χαράγματα
ἀποτροπαίων δυσμενὲς τὸ δαιμόνων·
ἅπανθ᾽ ἑαυτῆς τῆς πρόχου σωτηρίαις
ἄρσασ᾽ ἀκεῖται, κἀξαναψύχει δρόσοις.
ἀνθ᾽ ὧν, ἑορταῖς ταῖς ἐτησίαις ἀεὶ
πᾶς τις τὸ χρηστὸν καὶ φιλάνθρωπον θεᾶς
ὑμνεῖ μέλεσσιν ὀρθίοισι βουκόλων·
πλέξας θ᾽ ἁπάντων ἦρος ἐκ τρυφημάτων,
κρόκων τ᾽, ἴων τε, καὶ στεφῶν ναρκισσίνων
τὴν φαιδρότητα· σῶστρα τῇ Θεᾷ φέρειν
εὔοδμ᾽ ἄνωθεν ταῖς ῥοαῖς ἐπεμβαλεῖ.
οὐκοῦν ἐπῳδαῖς εἴ τι κολληθὲν τύχοι,
ταύτην γε κλῇδα τοῦ πάλιν λῦσαι φορεῖν·
θρυλλημάτων τε πᾶν τὸ ναρκωδῶν κρύος
τήξειν χλιουσσῶν ψηλαφήμασιν πνοῶν,
ἔφασχ᾽ ὁ πρέσβυς· εἴ τις οὐκ ἄϊδρις ὢν
ὑμνῶν τε τῇ Θεᾷ, προστροπῶν τ᾽, ἐντεύξεται.
καὶ μὴν ἀχράντοις ξυμπαθὴς ἁγνεύμασιν
ἀεί ποτ᾽ οὖσα, παρθένων ἂν ἐν τάχει,
τῶν ὥσπερ αὐτῆς, πρὸς βοήθειαν παρῆν,
ταῖς ἐν τοιῷδε ξυμφορῶν ἐγκειμέναις.
πρὸς ταῦτ᾽ ἂν εὐχῶν καιρὸς ᾖ πεῖραν λαβεῖν,
ξυνηγορούντων τ᾽, εἴ τι δὴ προὔργου, μελῶν.

ΜΟΝΩΙΔΙΑ.

Νύμφα, βένθεσιν ἁμένα γαλάνοις
διαυγῶν ποταμῶν, Σάβρινα·

ἔνθα χὐαλίνων ἔνερθε δινᾶν
βοστρύχων ἀναδουμένα κορύμβους
λειρίνων διαδάματ᾽ ἀνθέων,
ἀλεκτροσταγέων κατ᾽ ὤμους
κομᾶν ἀγλαΐαν πετάννυς·
κλῦθι καλλιέθειρα νυμφᾶν·
ἀργυρῶν μεδέοισα λιμνᾶν·
κλῦθι, κεἴ τί σοι καλῷ τε
παρθενεύμασίν τε σοῖς,
ὡς τὰ πρὶν, μέλει ᾽παρῆξαι·
κλύοις τε, καὶ σώσασ᾽ ἔχοις.
Πρός τ᾽ Ὠκεανοῦ σέβας ὑψίστου·
πρὸς σεμνοπρεπῶς ἐμβαινούσης
τῆς βασιλείας Τηθύος αἰδοῦς·
πρὸς τριόδοντός τ᾽ Ἐννοσιγαίου
παλαμῶν αἰχμῆς· ὁρκιζομένη
προφάνηθ᾽ ἡμῖν,
καὶ ῥυσομένη παραγίγνου.
πρὸς τῆς Νηρέως πολιᾶς ἤδη
ῥυτίδων ὄψεως· πρὸς Καρπαθίου τ᾽
ἐπὶ μαντοσύνῃ ῥοικὰ φοροῦντος
σκῆπτρα γέροντος· πρὸς τῶν σκολιαῖς
ἐνὶ Τρίτωνος τοῦ λεπιδώτου
καναχῶν κόγχαις· πρός τ᾽ ἀρχαίων
Γλαύκου χρησμῶν· ὁρκιζομένη
προφάνηθ᾽ ἡμῖν,
καὶ ῥυσομένη παραγίγνου.
πρὸς τῆς καρποῖς ἔπι Λευκοθέας
διαθρυπτομένης· πρός τ᾽ αἰγιαλοῖς
τοῦ Λευκοθέας κυρίου ὅρμων·
πρὸς τῆς Θέτιδός τ᾽ ἀργυροπέζων

κρηπῖδος ἰχνῶν· πρὸς ὀπὸς θελκτρων
λειριοέσσης τῶν Σειρήνων·
πρὸς Παρθενόπης τοῦ πόθου ὄχθων
εἴσετι τύμβων· ὁρκιζομένη
προφάνηθ' ἡμῖν,
καὶ ῥυσομένη παραγίγνου.
πρὸς τῆς σκοπέλων ἔπι δαιδαλέων,
ἀδάμαντος ἕδραις, κτενὶ χρυσείῳ
φαιδρυνομένης ἧκα Λιγείας
ἱμεροεσσῶν στίλβωμα κομῶν·
πρὸς Ναϊάδων Νυμφῶν τε χοροῦ,
τῶν παννυχίοις ἐπὶ σῶν θαλίαις
ῥείθρων λοξὸν παρακλινουσῶν
βέλος ὀφθαλμῶν· ὁρκιζομένη
προφάνηθ' ἡμῖν,
καὶ ῥυσομένη παραγίγνου.
ἀπὸ κουραλίνων προλιποῦσ' ἤδη
δέμνιον εὐνῶν, φοινισσομένων
ἡδὺ προσώπων ῥέθος εἰς αὐγὰς
ῥοδόεν πέτασον· τέως τε χαλινοῖς
ἀνακώχευσον τὴν σοῦ προπετῆ
νάματος ὁρμὴν,
ἕως ἐπακούεις ὁρκιζομένη,
καὶ ῥυσομένη παραγίγνῃ.

ΣΑΒΡΙΝΑ.

Σχοίνοισιν πάρα κρασπέδοισί τ' ὄχθων,
ἔνθ' οἰσυΐνα κομοῦσά θ' ὕλα,
κἰτεᾶν ὑδατοτρεφὴς τέθαλε·
τῶν ἀκύκλων λιποῖσ' ἔβαν
σμαράγδιν' ὀχαμάτων δαι-
δάλματα, καὶ κυανοῦν ἀχάτου

βενθέων ὀχετοῖς πλάναμα.
ὠκυῤῥόων δ' ἀφ' ὑδάτων
νοσφισθεῖσ', ἀνίχνευτα ποσσὶ
φλομίσκων ἁπαλῷ τε κρατὶ,
κἀκλινεῖ δ', ἐπεμβεβῶσα·
σοί γ' ὑπακούσασα, ποιμὲν,
δεῦρ', ὁρᾷς, ἐλήλυθα·
σόν δ' ἄρ' ἐννέπειν, ὅτου δὴ
ὕμνοισιν ὧδε λιπαρεῖς.

ΘΥ. Ἡμεῖς, ὦ Θεὰ, διὰ παρθενικῶν
τάδ' ἀμηχανιῶν, ἱκέται τῶν σῶν
ἥμεθα χειρῶν, τῶν μόνον ἰσχὺν
ὑπερασπίζειν τῆσδ' ἂν ἐχουσῶν,
τῆς καταράτων τέχναις τε μάγων,
καὶ ταῖς κρυεραῖς ἔμπεδον ᾠδαῖς,
αἰσχρῶς τ' ἀδίκως θ' ὧδε δεθείσης·
εἴ τι χερῶν μὴ
ῥύσια τῶν σῶν ἐπαρήξει.

ΣΑ. Ἓν γὰρ ὑπάρχει τῶν ἡμετέρων
φίλτατον ἔργων, κατὰ παρθενικῶν
δόλον ἁγνειῶν πάντ' ἀπαμῦναι.
παρθένε, σὺ δ' ἔμοιγ' ὄμματος αὐγὰς
στρέψον, ἕως σοι τρὶς ἐπὶ στέρνων,
τρίς τ' ἄρ' ἐπ' ἄκρων ὀνύχων χειρῶν,
τρίς τ' ἐπὶ χειλέων τοῦ ῥόδου ἀνθέων·
λιβάδας ῥαίνω τῆς ὑγιείας
πολυτιμήτους· τὰς ἐκ καθαρῶν
αὐτῆς πηγῶν ἀπαρυσθείσας.
εἶτ' ἐς καθεδρῶν μάρμαρα τούτων,
τὰ τόδ' ἰξευτῶν θάλπος ἀπ' ἰῶν,
τοῦ προσκολλᾷν, ἐντὸς ἔχοντα,

ψυχρῶν παλαμῶν θέναρ ἐμβάλλω.
τοῦτό σε δεσμῶν πᾶσαν ἀνῆκεν·
σέ τ' ἄρ' ὀρθοῦσθαι καιρὸς ἂν εἴη,
κἀμὲ πρὸ τοὔρθρου γ' Ἀμφιτρίτης
σκιεραῖς αὖθις
λάτριν αὐλαῖσιν καταλῦσαι.

ΘΥ. Νύμφη, θυγάτερ τοῦ Λοκρίνου,
καὶ παρθενικὸν τῶν ἀρχαίων
νέατον βλάστημ' Ἀγχισιαδῶν·
ἀλλά γε τῶν σῶν ἀντὶ πρὸς ἡμᾶς
τῶν νῦν χαρίτων· μήτε τι νάματα
τὰ σὰ τῶν ῥείθρων ὑποχωροίη·
μέχρι κρηπῖδος δ' ἔνδικον ὄχθων,
τῶν δασμοφόρων πλήρωμ' ὀχετῶν
αἰὲν ἐχόντων, τῶν χιονωδῶν
ὅσσοις κατ' ὀρῶν ἅλματα πηδᾷ.
μήτ' αὖ θερινῶν εἴ τ' ἄρ' ὑπ' αὐχμῶν,
εἴ τε πυρουσσῶν φλέγμασιν αὐρῶν,
τῶν σῶν πλοκάμων τὴν ἀγλαΐαν
περικαρθείης· μήτ' ἄρα φαιδρῶν
ταῖς κρυστάλλων ὕδατος αὐγαῖς,
τῶν χειμαῤῥῶν τις ὀπωρινῶν
βόρβορος ἔξω κηλῖδ' ἐπάγοι·
ταῖς σαῖς ῥιπαῖς θ' ὕπο, κλυζούσαις,
ὅ τε βήρυλλος, σπέρματα χρυσοῦ τ',
ἄχρις αἰγιαλῶν ἐπικυκλούσθων·
τὰ δὲ σὰ ξύστοις, τῶν τ' ἀναρίθμων
ἀμφὶ κάρηνα στεφάνοις πύργων
ὑψωθείης· κατὰ δ' αὖ χώρων
διαλήμματ' ἀεὶ, μήτε τι τῶν σῶν
σμύρνης γε νάπαι πάμπαν ἀπ' ὄχθων,

μήτ᾽ ἄρ᾽ ἀμώμου γ᾽
ὀδμαὶ καλάμων ἀπεχόντων.
Ἄγε δὴ, Δέσποιν᾽, ἕως οὐρανίας
χάριτός γ᾽ ἡμῖν ἐστ᾽ ἀπολαῦσαι·
τῶνδ᾽ ἀπὸ καιρὸς φεύγειν ἀσεβῶν
ᾗ τάχος οἴκων· μή τιν᾽ ἐς ἄλλον
τέχναις ὁ μάγος δόλον ἐμβάλλῃ·
στόμα τ᾽ εὐφήμου φροντίδος εἴσω
κατακλῄσαντες, μηδὲν ἐς ὀρθὸν
φωνῆς ἐνέπειν, πρὶν ἂν ἢ χώρων
τίνα που μᾶλλον
τῶν θεοῖσι φίλων ἀνύσωμεν.
Πομπαῖσι δ᾽ ἐμαῖς, οὐκέτι πλαγχθεῖσ᾽,
ἄμετρόν θ᾽ ὑλῶν σκιερόν τε βάθος
τῶνδε περάσεις· ἔνθα πατρῴων
ἔσται μελάθρων οὐκ ἀπὸ μακρὰν
σοί γ᾽ ἐπιβῆναι· τοῖσδε μὲν ἤδη,
τῆς παρ᾽ ἑαυτοῖς πατρὶ διαίτης
ξυγχαιρόντων, καὶ κηδομένων
καὶ ὀπίζομένων, πολύ τι πλῆθος
ξυνελέχθησαν· πρός τε παροίκων
πᾶς τις ἀγροίκων,
τῶν ξυγκώμων, ξύν τε χορευτῶν
τῆς βουκολικῆς πάρα μούσης.
Οὐκοῦν θαλίαις ἀδόκηθ᾽ ἡμῶν
ταῖσδε φανέντων· χάρματος εὖ γ᾽ οἶδ᾽
ὅτι κεὐφροσύνης δὶς τόσον ἔσται.
ταῦτ᾽ ἄρα προὔργου σπουδῇ γ᾽ ἀνύειν,
εἰσέτι λαμπρῶν ἕως χόρος ἄστρων
μέσος αἰθερίων ἕστηκε δρόμων,
νύξ τ᾽ ἐπὶ θάκων

τῶν οὐρανίων κράτος ἴσχει.
Τάδ' ἄρ' εἰς ὥρας, ποιμένες, ἡμῖν
τῶν βουκολικῶν ἀπόχρη κώμων·
μέχρις ἂν αὖθις τὸν χορὸν ὑμῶν
φάος εὐδείελον ἀνακυκλώσῃ γ',
ἤτοι ἕνης γοῦν, ἢ 'ρα καὶ ἠοῦς.
εἴξατε δ' ἤδη· κατανευομένων
ἀντὶ προσώπων, ἀντί τε πυγῶν
τῶνδε λυγισμῶν, δεῖ τιν' ἐπελθεῖν
τῶν κομψοτέρων ἔμβασιν ἰχνῶν
δακτυλόπλικτον· καὶ χαριεσσῶν
σχῆμά τι μορφῶν, ὧν μόνος Ἑρμῆς
ἐπὶ λειμώνων, ἐπί τ' αὖ νειῶν,
τοῦ χάριν αὐλῶν,
Δρυάδας πρῶτός γ' ἐδίδαξεν.
Φέρτατε ταγῶν, σύ τε δουλείων
σέβας ὀφθαλμῶν, βασίλεια γύναι·
καινὸν ἐφ' ὑμᾶς χάρμα πάρεστιν·
ταῦθ' ὑμετέρων ἀποφύντ' ὄζων
ἔρνε' ἰδόντας· τὰ τρί' ἡλικίας
ἐς καλὸν ἤδη πάντα προαχθένθ'·
ὧν τὴν νεότητ' εὖ μάλ' ἀκμαίως
βασάνῳ δοῦναι θεοῖσιν ἔδοξεν·
πολλῶν χαλεπῶν τ' ἐκ πειρασμῶν
τά τε καρτερίας, τά τ' ἀληθείας,
τά τε τῆς πίστεως ἆθλα φέροντας,
καὶ τὸν ἀγήρω στέφανον δόξης,
ὧδ' ἐπανελθεῖν, τόνδε σὺν ὑμῖν
τῇ τ' ἀφροσύνης, τῇ τ' ἀκολάστων
σώματος ὁρμῶν,
χορὸν ἀξομένους ἐπὶ νίκῃ.

Ἡμᾶς δὲ χρεὼν πτέρον ἰθύνειν
ἐπί τ' ὠκεανὸν, μακάρων τ' ἤθη,
τὰ παρ' εὐρυχόρους ἀνατεινόμενα
πλάκας αἰθερίας, πέλας ὀφθαλμῶν
τῶν ἡμερινῶν, αἰὲν ἀκλῄστων.
ἔνθ' ἅλις ὑγρῶν γλυκύτητ' αὐρῶν
κήποις ἁπαλοῖς ἐστι ῥοφῆσαι,
τοῖσι γέροντός τ' ἀβροδιαίτου,
πατρὸς Ἑσπερίου, τοῖς θ' Ἑσπερίδων,
τρισσῶν γε κορῶν, αἷς φίλος αἰεὶ
δένδρον ἅμ' ᾠδαῖς
πόνος ὀρχεῖσθαι περὶ χρυσοῦν.
Χλωραῖς δ' ἱλαρὸν κομψὸν ἐν αὐλαῖς τ'
ἔαρ ἀμφιπολεῖ, κατὰ φυλλόκομον
τῶν μὴ σταθερῶν τέγος ἀψίδων.
ἐν δ' ἄρ' ἐτείων Χάριτες δώρων,
καὶ ῥοδοκόλπων πᾶσά τις Ὡρῶν,
δασμὸν ἅπαντα ξυγκομίσασαι,
θέρος ἀΐδιον τῇδέ γ' ἔνασσαν·
Ζεφύροις πτερύγων ῥιπιζουσῶν
πνεύματος αὔρας κασίας αἰεὶ,
καὶ ῥαινομένης
κεδρίνων νάρδου δι' ἀγυιῶν.
Ἔνθα δὲ τόξων δεσπότις ὑγρῶν,
ἄρδει θαλεροῖς ῥεύμασιν Ἶρις
ποικιλον ὄχθων γάνος εὐόδμων·
οἷς μόγις αὐτῆς ἰσοφαρίζοι 'ν
τῶν δαιδαλέων φᾶρος ἀφ' ἱστῶν.
εἰ δέ τι θνητῶν ἄξιον ὤτων
τῶνδε πεπύσθαι· τῇδε ποτίζει
παρά γ' Ἠλυσίων ἄντλον ἐερσῶν

πρασιῶν μὲν ῥόδον ἠδ' ὑάκινθον,
στρώματα λέκτρων, οἷσπερ Ἄδωνις
κεῖται ἐφηβῶν, τραύματος ἤδη
βαθέων ψυχθεὶς πάμπαν ἀφ' ἑλκῶν·
παρὰ δὲ χλωραῖς ἥμενον ἕδραις,
δέμας Ἀσσυρίας
στυγνοπρόσωπον Βασιλείας.
Τὸ δ' ἄρ' οἱ κλεινὸν μαρμαροεσσῶν
ἐς μέσον αἰγλῶν τέκος ἱδρυνθέν γ',
Ἔρος οὐράνιος, μακρὸν ὕπερθε
Ψυχῆς, καμάτων ἀναπαυομένης,
χρονίων τε πλανῶν, κώματι τέως μὲν
φίλον ἀγκαλίσας δέμας εὐνάζει,
μέχρις ἀθανάτων μία συμπάντων
γνώμη θαλερῶν δώσει γαμετῶν,
ἥτις οἱ ἁγνῶν καὶ ἀμωμήτων
δίδυμον σπλάγχνων ὄλβον ἀνήσει γ',
Ἥβης τε Χαρᾶς θ'· ὧς τόδε νεῦσαι
πατρί γ' ὑψίστῳ
Ζηνὶ μεθ' ὅρκων δεδόκηται.
Νῦν δ', ὅτε μηδὲν τῶν ἡμετέρων
μήτ' ἐμπόδιον, μήτ' ἀτέλεστον
λείπεται ἤδη· πάρα μὲν θρέξαι,
πάρα δὲ πτάσθαι, βουλομένοισιν
ξὺν τάχει ἡμῖν, μέχρις ἐσχατιῶν
τῶν γῆς χλωρῶν, ἔνθ' ἐπικαμπὴ
βραδέων αἴθρης ἐστὶ διαύλων·
πάρα δ' ἐντεῦθεν πτερύγων ῥιπαῖς
ἐλαφρὰν σπεύδειν ἐπίπροσθ' ὁρμὴν,
ἀκαρεὶ κύκλων
ἄχρι σελήνης ἀνύσουσαν.

Ὑμῶν δὲ, βροτοὶ, πάντες ὅσοι δὴ
ποσὶν ἡμετέροις ἀκολουθῆσαι
βούλεσθ᾽· ἀρετῆς ὄντες ἐρασταὶ,
κύρσετε τούτου. μία γὰρ πάσης
ἀρετὴ λέλυταί γ᾽ ἀπὸ δουλείας·
μία δ᾽ ὑμέτερον βῆμα προβήσει
σφαιρῶν τ᾽ ἄστρων θ᾽ ὑπὲρ ἁρμονίας.
εἰ δέ τι ταύτης μηδὲν ἐς ὕψου
σθένος ἐξανύειν· ἦ μὴν αὐτὸς
πόλος οὐράνιος
πρὸς τὴν ἀρετὴν ἐπικύψει.

CORRIGENDA ET EMENDANDA.

Ad Samson. 316, 528, 1556, ἦ rescribe pro ἦν
183, πάντ᾽ ἐποιήθη . . . πάντ᾽ ἐγενήθη
254, ἀρετᾷ . . . ἀρετᾶς
448, Σῖγ᾽ οὖν ἔχοι . . . Σῖγ᾽ οὖν ἐχέσθω
633, κἀντανίσταται . . . κἀντανιστάναι
968, βεβλημένος . . . καββλημένος
975, ἁλίσκεται . . . ἁλώσεται
1249, ὑπεικάθειν . . . ὑπεικέναι
1508, προβεβῶσα . . . γεγαυῖα
1528, χωρήσεταί τις . . . μεθιστέ᾽ ἡμᾶς
1555, ἠλγηκότι . . . ἠλγημένῳ
1673, τοῦτο δ᾽ . . . τοῦδέ γ᾽
1932, ἀντίον φέρειν . . . ἐγκεκρουκέναι
2070, φθάσει γ᾽ . . . φθάνοι γ᾽

Ad Com. 189, σῖγ᾽ ἔχοιτε . . . σῖγ᾽ ἔχεσθε
215, μεθίσταμαι . . . μεθιστέα
315, ἀποσφαλεῖσαν . . . ἀποπλανεῖσαν
430, ἀπαγγελῶ . . . ἀπαγγελεῖν
563, 978, οἴῃ . . οἴει
1187, κυρήσειν . . . κυροῦσαν
1346, γε . . τε
post 144, versus excidit,
ξουθῇ ψαμάθῳ διαθρυπτομένων.

